43,864/B
A.XVIII. O. 118

36 e 4.12

Digitized by the Internet Archive
in 2017 with funding from
Wellcome Library

https://archive.org/details/b29336922

ΓΑΛΗΝΟΥ

ΕΙΣΑΓΩΓΗ ΔΙΑΛΕΚΤΙΚΗ.

PARIS. — TYPOGRAPHIE DE FIRMIN DIDOT FRÈRES,
RUE JACOB, 56.

ΓΑΛΗΝΟΥ

ΕΙΣΑΓΩΓΗ ΔΙΑΛΕΚΤΙΚΗ

ΕΥΡΕΘΕΙΣΑ ΚΑΤΑ ΤΗΝ

ΚΕΛΕΥΣΕΙ ΤΟΥ ΥΠΟΥΡΓΟΥ ΤΗΣ ΔΗΜΟΣΙΟΥ ΠΑΙΔΕΙΑΣ

ΣΟΦΟΥ ΒΙΛΛΕΜΑΙΝΟΥΣ

ΠΡΩΤΗΝ ΕΠΙΣΤΗΜΟΝΙΚΗΝ ΚΑΙ ΦΙΛΟΛΟΓΙΚΗΝ ΑΠΟΣΤΟΛΗΝ

ΤΟΥ Μ. ΜΗΝΑ

Ὑφ' οὗ καὶ νῦν πρῶτον διορθωθεῖσα καὶ δημοσιευθεῖσα μετὰ Προθεωρίας καὶ Παρεκβολῶν.

ΕΝ ΠΑΡΙΣΙῼ,

ΠΑΡΑ ΤΟΙΣ ΑΥΤΑΔΕΛΦΟΙΣ ΔΙΔΟΤΟΥ,

Ἀγυιᾷ Ἰακώβου, ἀριθ. νϛʹ.

͵αωμδʹ.

1844

36412

WELLCOME HISTORICAL MEDICAL LIBRARY

A MONSIEUR VILLEMAIN,

MINISTRE DE L'INSTRUCTION PUBLIQUE.

Monsieur le Ministre,

Vous m'avez fait l'honneur de me confier, au commencement de 1840, une mission scientifique et littéraire en Orient. Soutenu par votre bienveillance, dirigé par les instructions que vous vouliez bien me transmettre, j'ai pu recueillir plusieurs écrits de l'antiquité grecque, jusqu'à présent inédits, et qui vous ont paru dignes d'intérêt.

Aujourd'hui j'entreprends de publier un de ces écrits, LA DIALECTIQUE DE GALIEN : l'hom-

mage vous en est dû, Monsieur le Ministre; car c'est votre zèle éclairé qui a sauvé, et ce traité dont la publication jettera de nouvelles lumières sur la dialectique des anciens, et les autres opuscules que j'ai rapportés, dont l'importance sera appréciée des savants.

Souffrez, Monsieur le Ministre, que je place mon modeste travail sous la protection de votre nom, et que je m'honore publiquement d'avoir été employé dans ce grand travail de recherches, entrepris sous votre direction, et qui a déjà produit tant de résultats importants pour les progrès des sciences et des lettres.

Agréez, Monsieur le Ministre, l'hommage de mon respect et de mon éternelle reconnaissance.

Votre très-humble
et très-obéissant serviteur,

MINOÏDE MYNAS.

Paris, le 15 avril 1844.

ΤΩι ΥΠΟΥΡΓΩι

ΤΗΣ ΔΗΜΟΣΙΟΥ ΔΙΔΑΣΚΑΛΙΑΣ

ΚΥΡΙΩι ΒΙΛΛΕΜΑΙΝΕΙ.

Εὐδοκήσαντές με τιμῆσαι τῇ ἐπιστημονικῇ καὶ φιλολογικῇ ἀποστολῇ, ἀρχομένου τοῦ ͵αωμ′ ἔτους, εἰς Ἑῴαν μ᾽ ἐπέμψασθε· ἔνθα βοηθούμενος ὑπὸ τῆς ὑμετέρας εὐνοίας, καὶ ὁδηγούμενος, οἷς ἠξιοῦτέ μοι πέμπειν ἐντάλμασιν, οἷός τ᾽ ἐγενόμην ἀνευρεῖν οὐκ ὀλίγα τῆς ἑλληνικῆς ἀρχαιότητος, τέως ἀνέκδοτα, καὶ οὐκ ἀξύμφορα ὑμῖν δόξαντα.

Τούτων οὖν, τόγε νῦν ἔχον, ἑνὸς, τῆς Διαλεκτικῆς εἰσαγωγῆς τοῦ Γαληνοῦ, τὴν δημοσίευσιν ἀναβάλλομαι, καὶ τὴν ταύτης προσφορὰν, ἀντιβολῶ, ὑποδέξασθε· ὀφείλεται γὰρ τῇ ὑμετέρᾳ Ἐξοχότητι. Ἐν γὰρ τῷ σοφῷ

αὐτῆς ζήλῳ ἡ σωτηρία ἐγένετο, καὶ ταύτης τῆς πραγματείας, δι' ἧς ἡ τῶν ἀρχαίων Διαλεκτικὴ ἐκδηλοτέρα γενήσεται, καὶ τῶν λοιπῶν ἅπερ ἐκόμισα ἀνεκδότων· ὧν οἱ σοφοὶ τὸ ὠφέλιμον ἐπιγνώσονται.

Ἀξιωσάτω δὴ ἡ ὑμετέρα Ἐξοχότης τό, τε μικρὸν ἔργον τοῦτο ὑπὸ τῷ ὑμετέρῳ ὀνόματι ἐκδοθῆναι, κἀμέ τε δημοσίως γνωσθῆναι μὴ ἄχρηστόν τινα γεγονότα ἐν τῷ, οὗ τοι μικρῷ ἔργῳ τῶν διὰ τῆς ὑμετέρας ὁδηγίας πεποιημένων μοι ἀναζητήσεων· ὧν τὸ ἐκβησόμενον οὐκ ἀπόβλητον διακεκήρυκται, οὐδ' ἀξυντελὲς εἰς τὴν τῶν ἐπιστημῶν καὶ τῆς φιλολογίας πρόοδον.

Ἀπονέμων δὲ τὸ προσῆκον σέβας καὶ τὸ ἀΐδιον εὔγνωμον τῇ ὑμετέρᾳ Ἐξοχότητι

μένω διατελῶν αὐτῆς
δοῦλος ταπεινότατος καὶ
εὐπειθέστατος

ΜΗΝΑΣ Ο ΜΙΝΩ.

Ἐν Παρισίῳ τῇ α' θαργηλιῶνος ͵αωμδ'.

ΠΡΟΘΕΩΡΙΑ.

Τῶν μὲν ἄλλων τεχνῶν καὶ ἐπιστημῶν, οὐδένα πω ἐγνώκαμεν ἐξ ἱστορίας πρῶτον διδασκαλίαν ξυγγράψαντα, οὔτε Ῥητορικῆς, οὔτε Ἀστρονομίας, οὔτε Γεωμετρίας, οὔτε Τεκτονικῆς, ἢ Ἰατρικῆς, ἢ ἑτέρου τινὸς ἐπιστητοῦ μαθήματος· καίτοι Ἀσκληπιόν φασι πρῶτον γενέσθαι Ἰατρικώτατον, καὶ Δαίδαλον τεκτονικώτατον, καὶ Αἰγυπτίους γεωμέτρας διὰ τὴν τοῦ Νείλου κατάκλυσιν, καὶ ἀστρονομικοὺς τοὺς Χαλδαίους, καὶ ῥητορικοὺς Κόρακά τε καὶ Τισίαν, καὶ Θρασύμαχον, καὶ Θεόδωρον, καὶ Γοργίαν καὶ Ἰσοκράτην· οὐδένα δὲν τούτων τεχνογράφον δυνάμεθα λέγειν, ὅστις γε πρώτιστος τοὺς κανόνας τούτων ἐν δέλτοις κατέθετο. Τοὺς δέ γε τῆς Λογικῆς, εἴτε Διαλεκτικῆς, περὶ ὧν τῆς διαφορᾶς ὕστερον εἰρήσεται, Ἀριστοτέλην

πρῶτον ἴσμεν ἐν δέλτοις καταθέμενον. Μαρτυρεῖ δὲ αὐτὸς ἐκεῖνος ἐν τῷ τέλει τῶν Σοφιστικῶν ἐλέγχων οὑτωσὶν ἀποφαινόμενος·

« Ταύτης δὲ τῆς πραγματείας, οὐ τὸ μὲν ἦν, τὸ δ' οὐκ ἦν προ-
« εξειργασμένον, ἀλλ' οὐδὲ παντελῶς ὑπῆρχε· καὶ γὰρ τῶν περὶ
« τοὺς ἐριστικοὺς λόγους μισθαρνούντων, ὁμοία τις ἦν ἡ παίδευ-
« σις τῇ Γοργίου πραγματείᾳ. Λόγους γὰρ οἱ μὲν ῥητορικοὺς,
« οἱ δὲ ἐρωτηματικοὺς ἐδίδοσαν ἐκμανθάνειν· εἰς οὓς πλειστάκις
« ἐμπίπτειν εἰώθεσαν ἑκάτεροι τοὺς ἀλλήλων λόγους. Διόπερ
« ταχεῖα μὲν, ἄτεχνος δ' ἦν ἡ διδασκαλία τοῖς μανθάνουσι παρ'
« αὐτῶν. Οὐ γὰρ τέχνην, ἀλλὰ τὰ ἀπὸ τῆς τέχνης διδόντες,
« παιδεύειν ὑπελάμβανον. Καὶ περὶ τῶν ῥητορικῶν μὲν ὑπῆρχεν
« ἴσως πολλὰ καὶ παλαιὰ τὰ λεγόμενα, περὶ δὲ τοῦ Συλλογίζε-
« σθαι, Παντελῶς οὐδὲν εἴχομεν λέγειν ἄλλο, ἀλλὰ τριβῇ ζη-
« τοῦντες, πολὺν χρόνον ἐπονοῦμεν. »

Καὶ οὐχ ὅτι οὐκ ἦσαν κἀκείνων τῶν μαθημάτων ἀρχηγέται τινὲς κανόνας ξυγγραψάμενοι, ἀλλ' ὅτι χαλεπὸν, ἵνα μὴ καὶ ἀδύνατον εἴπω, διὰ χρόνου πλῆθος εὑρεῖν τὴν ἐκείνων ἀρχήν· διὸ καὶ ἄδηλοι ἡμῖν γέ εἰσι καὶ ἔσονται. Ἢ τάχα ἀρχηγόν τινα ἕνα καὶ μόνον τούτων γενέσθαι ἀποπέφυκεν ἀνθρωπίνης διανοίας· πολλοὺς δέ τινας κατὰ μέρος μικρόν τι ἐξευρόντας, καὶ τοῦτο πολὺν χρόνον μετὰ τὸ συνελθεῖν αὐτοὺς, Γεωργίας εἰσαχθείσης, εἰς κοινωνίαν, καὶ εἰς συνοίκησιν. Φυσικαῖς γὰρ ἀνάγκαις οἱ ἄνθρωποι ὠθούμενοι διὰ τὴν ἐνοῦσαν αὐτοῖς καὶ οἰκουροῦσαν ἔνδειαν, πρὸς ζήτησιν τὰ πρῶτα ἐτράποντο τοῦ συμφέροντος. Οὐ γὰρ ἁπλῶς φύσει τοῦ εἰδέναι ὠρέχθησαν, καθά φησιν Ἀριστοτέλης. Εἴη γὰρ ἂν εἴπερ, καὶ νῦν γε ἅπαντας ἂν ἑωρῶμεν σοφούς· Νῦν δὲ οὐχ οὕτω συμβαῖνον κατείληπται, καὶ ταῦτα τῆς πρὸς ἀλλήλους κοινωνίας, εἴπέρ ποτε καὶ νῦν ἐπιδεδωκυίας. Τὸ πάλαι δ' ὁ ἄνθρωπος περὶ τὴν αὐτοσχέδιον ἀναπλήρωσιν τῆς ἐνδείας ἠσχόληται καὶ ἐζήτει εἰδέναι, ὅσα τε φευκτὰ διὰ τὴν ἐξ αὐτῶν ἐπισυμβαίνουσαν φθορὰν, καὶ ὅσα αἱρετὰ διὰ τὴν ἐξ αὐτῶν ἐσομένην κατὰ τὸν βίον ὠφέλειαν· καὶ ἡ τῶν αἰσθήσεων ἀγάπησις, οὐ διὰ τὴν τοῦ

εἰδέναι ὄρεξιν ἐνυπάρχει ἅπασιν, ἀλλὰ διὰ τὴν ἐξ αὐτῶν συμπαρουσῶν πρὸς τὸν βίον ὠφέλειαν, καὶ τὴν ἐκ τῆς τούτων στερήσεως βλάβην. Καὶ ὀρθῶς τὸ σημεῖον κατασκευαστικὸν ἐπήγαγε, κατανοήσας, οἶμαι, τὸ μὴ ἀποχρῶντα λόγον εἶναι, τὴν τῶν αἰσθήσεων ἀγάπησιν, τῆς τοῦ εἰδέναι ὀρέξεως. Ὠρέγοντο γὰρ εἰδέναι πρῶτον τὰ πρὸς σωτηρίαν καὶ συντήρησιν συμφέροντα· καὶ μετὰ τὴν ἀμωσγέπως τῆς ἐνδείας ἀναπλήρωσιν, τὰ πρὸς βελτίωσιν τοῦ νοὸς ζητεῖν ἐπεβάλλοντο, τόγ' ἐφ' ἑαυτοῖς ἕκαστοι· καὶ τῷ ὅτι τέως ἀρκούμενοι, οἱ ἐπιεικέστεροι ἐζήτησαν τὸ διότι, οὗ ἄνευ οὐδὲν πρὸς κανόνα καὶ στάθμην συστῆναι δυνατόν.

Οὕτω κατὰ μικρὸν τὰ περὶ ἐπιστημῶν καὶ τεχνῶν ἐτελειοποιεῖτο, ὅσον ἐφικτὸν ἀνθρώπῳ τόθ' ὑπῆρχε. Διὸ καὶ ὀψέποτε μὲν πραγματείας τινὰς τούτων, ξυνταχθῆναι, ἕς γ' ἐφ' ἡμᾶς μὴ διασωθείσας, τάχα μὲν τῇ μετὰ ταῦτα πρὸς τελειότητα προσθήκῃ τῶν ἐπιγιγνομένων ἀμελουμένας, τάχα δὲ καὶ διὰ τὰς ἐθνικὰς μεταβολὰς ἀφανιζομένας· καὶ ταύτας μέντοι γε μὴ πάνυτι προκεχωρηκυίας, ἅτε τοῖς ὑποκειμένοις αὐταῖς ἐπιστητοῖς παρομαρτούσας, ἀναχαιτιζομένης τῆς κατ' αὐτὰς ἐπιδόσεως, ὁτὲ μὲν διὰ τὴν τῶν τυράννων ἐπιδρομὴν, οἷόν τι πέπονθεν ἡ φιλοσοφικὴ ἐποποιΐα, ἀπελαθεῖσα τῆς Ἰωνίας διὰ Καμβύσην καὶ τὴν τῶν Περσῶν δύναμιν, χώραν παρέσχε τῇ ἰαμβιοποιΐᾳ, Ἀρχιλόχου τε καὶ τῶν κατ' αὐτὸν ἐγγυμναζομένων· ἥτις δὴ καὶ αὐτὴ εἰς τὰ θέατρα κατακλεισθεῖσα, διά τε τὰ ἰδιωτικὰ καὶ τὰ κοινὰ τῶν πόλεων ξυμφέροντα, τῇ Ῥητορικῇ παρεχώρησε κατὰ τοὺς περὶ Γοργίαν χρόνους· ἥτις τότε τιμωμένη, καὶ πλέον τῶν ἄλλων τεχνῶν καὶ Ἐπιστημῶν ἐπέδωκεν. Αὔξει γὰρ ἀεὶ τὸ τιμώμενον, ἀμελεῖται δὲ τὸ ὀλιγωρούμενον. Ὁ τὲ δὲ, ἵνα μὴ καὶ πάντοτε εἴπω, διὰ τὴν δεισιδαιμονίαν, ὑφ' ἧς τὰ τοῦ ἀνθρωπίνου νοὸς ἐπὶ πολὺ ἀπροόδευτα μεμένηκε· δι' ἣν καὶ Σωκράτης τὸ κώνιον ἔπιε· καὶ Ἀριστοτέλην δὲν αὐτὸν τινές φασι, δίκην ἀσεβείας ἁλόντα ἀποθανεῖν. Ἀλλὰ καὶ χθιζά τε καὶ πρωΐζα διὰ τὴν εἰκονομαχίαν σχολεῖα αὔτανδρα ἐν Κωνσταντινουπόλει ἐπυρπολήθησαν. Οὕτως οὖν ὁ νοῦς ἐπιπροσθούμενος ἀναχαιτίζεται πρὸς ἐπίδοσιν, αἵτε γνώσεις καὶ μαθήσεις

βάδην χωρήσασαι, κατὰ μικρὸν ἐπέδωκαν, καὶ τέχναι καὶ κανόνες τούτων ὀψέποτε ἀνεφάνησαν. Ἀνάγκη γὰρ πολλῶν ὁμοίων ἐπαναληφθέντων κανόνας τοῦ, πῶς ταῦτά ἐστιν, ἢ γίνεται, συστῆναι γραπτούς· ὀλίγων δ' ὄντων καὶ νηπιαζούσης τῆς τέχνης, ἀρκεῖ ἡ διὰ λόγου τῶν κανόνων παράδοσις, εὐσυνόπτων, καὶ εὐμνημονεύτων ὄντων. Τάτε ὀνόματα τῶν πρώτων κανονιστῶν ἐξεῤῥυηκέναι, μικρά τινα ἐξευρόντων ἑκάστων, καὶ τῇ τοῦ χρόνου φορᾷ ἀμνηστηθέντα.

Εἰκὸς μέντοι γε τοὺς πάλαι μὴ ἀκονίστως, μήδ' ἀτέχνως ποιεῖν τε καὶ ξυγγράφειν. Τοὺς πάλαι δὲ λέγων, τοὺς πρὶν Ὁμήρου φημὶ ὑπάρξαντας· οὐ γὰρ εἰκῇ καὶ ἄτεχνος ἡ τοῦ καιροῦ ἐκείνου ποίησις, οὔθ' ἡ ἐπὶ Λίνου καὶ Ὀρφέως, οὔθ' ἡ ἐπὶ Ὁμήρου. Τὸ γὰρ πῇ μὲν τοῦ στίχου πόδα σπονδεῖον, πῇ δὲ δάκτυλον, ἢ τροχαῖον δεῖ τίθεσθαι· καὶ τὸ μὲν εἶναι μακρὸν, καὶ βραχὺ, τὸ δὲ δίχρονον· καὶ τομὰς ἐπιδέχεσθαι τοιαύτας, ἢ τοιαύτας, ἢ ῥυθμὸν, καὶ ἁρμονίαν, οὐκ αὐτοσχέδια, ἀλλὰ πολλοῦ χρόνου δεόμενα πρὸς ἐντέλειαν. Αἱ γὰρ τοιαῦται παρατηρήσεις νὴ Δία γε πολλοῦ πρὶν Ὁμήρου γεγεννημέναι φαίνονται, ὥς τε τὴν ποίησιν αὐτοῦ προελθεῖν, εἰς ὅσην ἐνεδέχετο τελειότητα. Ὅπου γε ἡ τῶν νέων γλωσσῶν τῆς τόγε νῦν ἔχον ἐν τῇ σοφῇ Εὐρώπῃ ποιήσεως, ἐπέκεινα τῶν τριακοσίων ἐτῶν γυμναζομένη, ἁπλουστάτη φαίνεται, ὁριζομένη τῷ ἀριθμῷ τῶν συλλαβῶν, καὶ τῷ Ἰσοτελεύτῳ τῶν λέξεων· τὸ δὲ πολυειδὲς ἐκεῖνο πῶς ἦν δυνατὸν ἕνα ἄνδρα μόνον ἐξευρεῖν; Θεοῦ δ' ἂν εἴη τοῦτο, καὶ οὐκ ἔργον ἀνθρώπου. Τὸ δὲ καὶ τὴν τοῦ δράματος ἐκείνου κατασκευὴν τοιάνδε εἶναι, ὡς ἄρχεσθαι ἀπὸ τῆς τοῦ Ἀχιλλέως μήνιδος, καὶ τοῦτον ἐξαγαγεῖν τοῦ πολέμου, τοὺς δ' ἧττον ἀνδρείους εἰσαγαγεῖν ἀριστεύσοντας, καὶ πάλιν αὐτὸν ποιεῖν εἰσελθόντα, καὶ τὴν δραματουργίαν τελευτᾶν, ἀτέχνως ἆρα ἐσχεδίασται; Ἀλλὰ καὶ γραμματικοὶ κανόνες ὑπάρχοντες τότε φαίνονται, διδάσκοντες σύνθεσίν τε καὶ παραγωγὴν, καὶ ἐτυμολογίαν καὶ ἄλλων τοιούτων, ὧν πλήρης ἡ Ὁμηρικὴ ποίησις. Ὥςπερ δὴ καὶ πελασγικὰ γράμματα ἐξ ἱστορίας ἴσμεν ὑπάρξαντα.

Ναὶ μὴν καὶ Ῥητορική τις ὑπῆρχεν εἰς τὸ Πανηγυρικώτερον καὶ

Συμβουλευτικώτερον κεκανονισμένη διὰ τὸν περὶ τὰ θεῖα ἔπαινον καὶ ὑμνοποιΐαν· οὐμὴν ὥςπερ ἡ ἐπὶ Περικλέους καὶ Δημοσθένους, ὅμως δ' ὑπῆρχεν· ὅπερ καὶ καταφαίνεται ἐν τοῖς εἰς τὸν Ὅμηρον ἀναφερομένοις ὕμνοις. Μάρτυς δὲ καὶ αὐτὸς ὁ Ὅμηρος, ποιήσας τὸν Ἀχιλλέα ὑπὸ τοῦ Φοίνικος διδαχθέντα τὴν Ῥητορικὴν, ἐν οἷς φησι (1)·

Τοὔνεκά με προέηκε διδασκέμεναι τάδε πάντα·
Μύθων τε ῥητῆρ' ἔμεναι, πρηκτῆρά τε ἔργων·

ἀλλὰ τὸ πρηκτῆρα ἔργων, καὶ Πολιτικὴν διδασκαλίαν βούλεται λέγειν.

Τοῦ δέ γε Συμβουλευτικοῦ γένους, ἀρκεσθήσομαι, τόγε νῦν ἔχον, τῇ τοῦ Νέστορος Δημηγορίᾳ, ἀρχομένῃ ἀπὸ τοῦ, ὢ πόπποι (2) καὶ λήγουσα εἰς τό·

Ἕρκος Ἀχαιοῖσι πέλεται πολέμοιο κακοῖο.

Ἐπιστήσας δ' αὐτῇ, καὶ τοῖς ἐπὶ Δημοσθένους ῥητορικοῖς κανόσι σταθμήσας, εὗρον κατὰ τοὺς τῆς Πραγματικῆς στάσεως κανόνας περαινομένην· ἀναλυθείη δ' ἂν εὐσυνόπτως τὸν ἀκόλουθον τρόπον·

« Μήτε τοιάδε ποιεῖτε, μήτε λογομαχεῖτε, ἀλλ' ἐμοὶ πείθεσθε
« τὰ κοινῇ παραινοῦντι ξυμφέροντα. »

Αὕτη ἡ πρότασις· ἣν καὶ κατασκευάζει ἐκ τοῦ προσώπου.

« Ἐγὼ γὰρ καὶ ἀνδρειοτάτοις ἀνδρῶν ἁπάντων συνεβού-
« λευσα, καὶ κατηκόους ἔσχον. »

Εἶτα παραδειγματικῶς ἐπαριθμήσας τοὺς ἄνδρας, καὶ ἐπὶ μέγα ἐξάρας, ἐπήνεγκε τὸ κατὰ Σύγκρισιν ἐνθύμημα·

« Καίτοι ἐκεῖνοι τηλικοῦτοι ὄντες, τοῖς ἐμοῖς λόγοις ἐπεί-
« θοντο, ὑμεῖς δὲ οὐ πείθεσθε, ἐκείνων ὄντες ὑποδεέστεροι; »

(1) Ἰλιάδ. Ι, 442.
(2) Ἰλιάδ. Α, 254.

Ταῦτά τε οὖν καὶ τὰ τούτοις παραπλήσια δείκνυσι μὴ ἀῤῥητόρευτα εἶναι τὰ τῶν παλαιῶν, μήδ' ἀκανόνιστα παντάπασι.

Τοιαῦτα δ' ἄν τις εἴποι καὶ περὶ τῶν ἄλλων τεχνῶν καὶ ἐπιστημῶν· ὅτι διὰ χρόνου πλῆθος ἄδηλος ἡμῖν ἥ τε ἀρχὴ αὐτῶν καὶ ὁ κανονισμός. Ἄβατα γὰρ τῇ ἡμετέρᾳ διανοίᾳ τὰ ἀρχαῖα, καὶ ἀνέφικτα. Καὶ τυχὸν μὲν οὐ ψεύδεται Ἡρόδοτος λέγων τοὺς Ἀρκαδίους προσέληνας, οὓς δυνατὸν καὶ σοφωτέρους τῶν τε μετὰ ταῦτα, καὶ τῶν καθ' ἡμᾶς γεγονέναι. Τάχα δὲ καὶ τὴν Ἑλλάδα, μᾶλλον δὲ τὴν οἰκουμένην ἅπασαν, πολλάκις ἀμοιβαδὸν, καὶ σοφισθῆναι, καὶ βαρβαρωθῆναι, καὶ αὖθις μετὰ περίοδον ἐτῶν σοφὴν γενέσθαι, καὶ πάλιν βάρβαρον, ᾗ φησὶν ὁ Λευκανὸς Ὤκελλος. Ἀνάγκη γὰρ ταῦτ' ἀεὶ ἐπισυμβαίνειν τῇ οἰκουμένῃ διὰ τὸ φύσει πλεονεκτικὸν τοῦ ἀνθρώπου, καὶ τὸ φύσει ἄδικον τῶν κατακυριευόντων ἐθνῶν, ἅπερ δύναμιν προςλαβόντα, ἀδύνατον μὴ ἐπεξιέναι τοῖς ἀδυνάτοις, καὶ καταδουλοῦν, ἄλλοτε ἄλλοις ἐπανισταμένων. Ὅπερ ἀεὶ παραίτιον τῆς ἀπωλείας τῶν ἐξευρημένων ἐγένετο, καὶ κώλυμα ἦν τε καὶ ἔσεται τῷ εἰς τὸ ἐντελὲς προοδεύειν τὰ τῆς ἀνθρωπίνης γνώσεως. Δουλοῖ γὰρ τὸν νοῦν βιωτικὴ ἀνάγκη ἐπερχομένη, καὶ πρὸς τὸ σώζεσθαι μᾶλλον ταλαιπωρεῖ, ἢ πρὸς φυλακὴν τῶν ἐξευρημένων, πολλοῦ γε καὶ δεῖ πρὸς εὕρεσιν τῆς ἀληθείας ἀσχοληθῆναι, τό γε αὐτῷ ἐφικτόν. Εἰκὸς γὰρ ἄνευ τῆς Περσικῆς δυνάμεως τὰ τῆς Ἰωνίας καταδυναστευσάσης, ἐπιδοῦναι ἂν ἐπὶ πλέον τὴν φιλόσοφον ἐποποιΐαν, καθάπερ δὴ καὶ τὴν Διαλεκτικὴν καὶ Ῥητορικὴν κατὰ τὴν Ἑλλάδα, μὴ τῆς Μακεδονικῆς δυνάμεως πρῶτον ἐπαναστάσης αὐτῇ, καὶ τῆς Ῥωμαϊκῆς ἔπειτα.

Ὅμως δὲ, καίτοι φθειρομένων καὶ ἀναγεννωμένων οὕτω τῶν Τεχνῶν καὶ Ἐπιστημῶν, καὶ τῶν κατ' αὐτὰς διδακτικοὺς κανόνους γραψάντων ἀδήλων ἡμῖν ὄντων, ἀνάγκης ἀγχίθυρον πέφυκεν, ἵνα τὰς ἄλλας τέχνας καὶ ἐπιστήμας παρῶ, τὸν ἄνθρωπον ἀπαλλαγέντα τῶν Βιωτικῶν ἀναγκῶν, μὲ ἀμελῆσαι, ἅτε λογικὸν ζῷον καὶ ὂν, καὶ λεγόμενον, τῶν ἔπειτα, κληθέντων λογικῶν τεχνῶν, οἷαί εἰσι, Γραμματικὴ, Λογικὴ, καὶ Ῥητορική· καὶ ἡ Ἐποποιΐα. Τὰ γὰρ λοιπὰ εἴδη τῆς ποιητικῆς τῇ μουσικῇ προσῆκεν· ἡδ' ἐποποιΐα φωνητικῶς ἀπηγγέλ-

λετο, ἀναγινωσκομένη ἐν ταῖς πανηγύρεσιν. Ἀποπέφευκε γὰρ πρὸς ᾠδὴν διὰ τὸ σχοινοτενὲς τοῦ στίχου. Ὅπερ καὶ ἐν τῷ τοῦ Ἀριστοτέλους περὶ ποιητικῆς ὑποφαίνεται δηλούμενον. Τούς τε κανόνας τὰ πρῶτα μέν, ὡς μικρῷ πρόσθεν εἴρηται, ζώσῃ φωνῇ διδάσκεσθαι, αὐξηθέντων δὲ τῶν ὁπωσοῦν γνώσεων, καὶ διὰ γραφῆς. Ὅμως δὲ ἀναμὶξ καὶ τότε, καὶ οὐ χωρὶς τούτους διδάσκεσθαι. Μαρτυρεῖ δὲ καὶ Διογένης ὁ Λαέρτιος ἐν τῷ βίῳ τοῦ Ζήνωνος, λέγων· Τριμεροῦς ὄντος τοῦ κατὰ φιλοσοφίαν λόγου, οὐθὲν μέρος τοῦ ἑτέρου προκεκρίσθαι (καθά τινες αὐτῶν φασὶν), ἀλλὰ μεμίχθαι αὐτὰ, καὶ τὴν παράδοσιν μικτὴν ἐποίουν. Καὶ εἴγε τοῦτ' ἐποίουν καὶ οἱ μετ' Ἀριστοτέλην φιλοσοφήσαντες, εὔδηλον, ὅτι καὶ οἱ πρὸ αὐτοῦ. Δηλοῖ μὲν τοῦτο καὶ ἡ τῆς ἑλληνικῆς γλώττης Γραμματικὴ, διδάσκουσα εὐθὺς ἐξ ἀρχῆς, τίνα μακρὰ καὶ τίνα βραχέα, ἢ δίχρονα τῶν γραμμάτων, δηλοῖ δὲ καὶ ὁ παλαιὸς ὁρισμὸς τῆς Διονυσίου τοῦ Θρᾳκὸς γραμματικῆς, ἣ οὕτως ὡρίζετο·

« Γραμματική ἐστιν ἐμπειρία τῶν παρὰ ποιηταῖς τε καὶ συγ-
« γραφεῦσιν, ὡς ἐπὶ τὸ πολὺ λεγομένων· »

μαρτυρεῖ δὲ καὶ τὸ τοῦ Παλλαδᾶ ἐπίγραμμα,

« Ἀρχὴ Γραμματικῆς πεντάστιχός ἐστι κατάρα »

τὸ τοὺς κανόνας τῆς Γραμματικῆς συλλήβδην τοῖς τῆς Ποιητικῆς διδάσκεσθαι.

Ἀλλὰ μὴν καί τινας τῶν τῆς Ῥητορικῆς, οὐ τοὺς περὶ διαιρέσεως εἰς πολιτικὰ καὶ εἰς περὶ τὰς δίκας ζητήματα, ἀλλὰ τοὺς περὶ σχημάτων, καὶ μάλιστα τοὺς τῆς ὑποκρίσεως· τὸ γὰρ,

ἀναγνωστέον δὲ καθ' ὑπόκρισιν

ὡς ἐν τῇ αὐτῇ Γραμματικῇ εἴρηται, τοῦτο παρεμφαίνει. Οὐ μικρὸν γὰρ ἡ ὑπόκρισις ἐν τοῖς κατὰ ῥήτορας λόγοις ἠδύνατο· ὡς καὶ Δημοσθένην αὐτὸν μετὰ τὸ διδαχθῆναι ὑπὸ Σατύρου τὴν ὑπόκρισιν, τὰ μάλιστα εὐδοκιμῆσαι περὶ τοὺς λόγους, ἧ φησὶ Πλούταρχος (1).

(1) Ἐν βίῳ Δημοσθένους.

« Ὡς μικρόν τι ἡγήσασθαι, καὶ τὸ μηδὲν εἶναι τὴν ἄσκη-
« σιν, ἀμελοῦντι τῆς προφορᾶς καὶ Διαθέσεως τῶν λεγομένων
« ἐκ τούτου κατάγειον μὲν οἰκοδομῆσαι μελετητήριον..... »

Βεβαιοῖ δὲ ὃ λέγω καὶ τὰ ἐν τῇ Γραμματικῇ καλούμενα Θετικὰ, ἢ Θέσεως ἐπιῤῥήματα, περὶ ἧς διαλαμβάνει καὶ Ἑρμογένης, καὶ Σώπατρος, καὶ Ἀφθόνιος, καὶ ἄλλοι τινὲς ῥητορικοί.

Περὶ δὲ τῆς Λογικῆς τὶ ἂν εἴποιμι· ὑπῆρχόν τινες κανόνες καὶ αὐτῆς ἐν ταῖς τότε Γραμματικαῖς; ἀλλ' ὅσα γε ὁ Πλάτων λέγει (1) περὶ στοιχείων, καὶ συλλαβῶν, καὶ γραμμάτων, καὶ ὀνομάτων, καὶ ῥημάτων, καὶ φωνηέντων, οἷον·

« ὧν γε τὰ ἐναργέστατα ἑπτὰ αὐτὰ φωνὴν μόνην
« ἔχει, λόγον δ' οὐδ' ὁντινοῦν·

καὶ κατωτέρω

« τὸ μὲν οὖν πρῶτον εἴη ἂν τὸ τὴν αὐτοῦ διάνοιαν ἐμφανῆ
« ποιεῖν διὰ φωνῆς μετὰ ῥημάτων τε καὶ ὀνομάτων·

καὶ αὖθις

« Ὀρθῶς μὲν δοξάζοντας, καὶ λέγοντας ἃ λέγομεν, οἰομένους
« δὲ γραμματικοὺς εἶναι, καὶ ἔχειν τε καὶ λέγειν γραμματικῶς
« τὸν τοῦ Θεαιτήτου ὀνόματος λόγον (2)·

Ἀλλὰ καὶ ἐν τῷ περὶ ὀρθότητος ὀνομάτων πλεῖστα γραμματικὰ φαίνεται· Ταῦτά φημι, οὐ δηλοῦσιν, ὅτι τὰ ἐν τῇ Διονυσίου Γραμματικῇ ὑπῆρχε καὶ τὰ ἐν τῇ πρὸ τοῦ Πλάτωνος ὑπαρξάσῃ; Ἀνάγκη ἄρα κανόνας τινὰς τῆς Λογικῆς ταὐτίζεσθαι κανόσι τισὶ τῆς Γραμματικῆς·

(1) Ἐν Θεαιτήτῳ καὶ ἐν Κρατύλῳ.

(2) Ἐντεῦθεν καταφαίνεται, ὅτι οἱ περὶ τὸν Πλάτωνα, καὶ οἱ μετ' αὐτὸν, τὸν παρὰ Διονυσίῳ τῷ Θρᾳκὶ παλαιὸν ὁρισμὸν τῆς γραμματικῆς παραγκωνισάμενοι, ἀντισήγαγον τὸν τοῦ, τέχνη τοῦ ὀρθῶς λέγειν καὶ γράφειν.

ὃ μᾶλλον ξυμφανὲς γένοιτ' ἂν ἔκ τινων Συνδέσμων, περὶ ὧν φησὶν ὁ Θρᾷξ Διονύσιος·

« Διαζευκτικοὶ μέν εἰσιν, ὅσοι τὴν μὲν φράσιν ἐπιδέουσιν,
« ἀπὸ δὲ πράγματος εἰς πρᾶγμα διϊστῶσι·

τοῦθ' ὅπερ καὶ ἐπὶ τῶν Διεζευγμένων προτάσεων λέγεται, ὡς ἐν τῇ Εἰσαγωγῇ τῆς Γαληνείου Διαλεκτικῆς κατωτέρῳ ὀψόμεθα· ἀλλὰ καὶ

« Συναπτικοὶ, ὅσοι ὕπαρξιν μὲν οὐ δηλοῦσι, σημαίνουσι δ'
« ἀκολουθίαν·

ὅπερ δὴ ἐπὶ τῶν ὑποθετικῶν συλλογισμῶν ὀψόμεθα. Καὶ πάλιν,

« Συλλογιστικοὶ, ὅσοι πρὸς τὰς ἐπιφοράς τε καὶ συλλήψεις
« τῶν ἀποδείξεων εὖ διάκεινται.

Πῶς οὖν ταῦτα λέγωμεν; ἆρά γε μετὰ τὴν εὕρεσιν τῆς Λογικῆς εἰσήχθη, ἢ ὑπῆρχεν ἐν τῇ Γραμματικῇ πρὶν τὸν Ἀριστοτέλην τὴν Λογικὴν συντάξασθαι; Ἀνάγκη γὰρ τοιαῦτα μόρια εὑρισκόμενα, καὶ παρὰ τοῖς παλαιοῖς ποιηταῖς τε καὶ φιλοσόφοις, μὴ ἄγνωστα, μήδ' ἀνεξέταστα εἶναι ἐν τῇ παλαιᾷ Γραμματικῇ,

« Ἐμπειρίᾳ οὔσῃ τῶν παρὰ ποιηταῖς καὶ συγγραφεῦσιν ὡς
« ἐπὶ τὸ πολὺ λεγομένων·

Οὔκουν τὰ τοιάδε ὑπῆρχεν, οὔτ' ἐν τῇ τοῦ Πλάτωνος Γραμματικῇ, φασὶ γὰρ καὶ αὐτὸν Γραμματικὴν ξυγγράψασθαι, οὔτ' ἐν τῇ τοῦ πρὶν αὐτοῦ, Θεαγένους τοῦ ἐπὶ Ξέρξου ἀκμάσαντος; καίτοι ὁ Αἰσχύλος ἐν τῇ Προμηθέως Τραγῳδίᾳ, αὐτὸν ἐκεῖνον τὸν Προμηθέα βούλεται πρῶτον Γραμματικὴν συντάξασθαι· φησὶ γὰρ ὡς αὐτὸς τοὺς ἀνθρώπους ἐδιδάξατο (2)

« Γραμμάτων τε συνθέσεις·

(2) Ἐν ᾗ γέγραφα ἱστορίᾳ τῆς Γραμματικῆς ἔτι ἀνεκδότῳ ἐν τοῖς ἐμοῖς χειρογράφοις, εἰς Πλάτος τὰ περὶ Γραμματικῆς μοι εἴρηται.

Οὐκ ἄντις φαίη ἀνεμώλιον ὅπερ λέγω, οὐδ᾽ ἂν εἴποιμι

« ἄφαρ τὸ φέροιεν ἀναρπάξασαι ἄελλαι·

οὐδ᾽ ἄπο τετόξευται σκοποῦ τὸ τοὺς παλαιοὺς κανόνας ἀναμὶξ διδάσκεσθαι διὰ τὸ εὐσύνοπτον τὸ τῶν κατὰ τὰ ὑποκείμενα γνώσεων, ὅπου γε καὶ τὰ ὑποκείμενα αὐτὰ ἀλλήλοις ἐνέπιπτον. Ὁ γὰρ ἀνωτέρω Ἀριστοτέλης φησὶ, τὸ τοὺς ῥητορικοὺς, καὶ ἐρωτηματικοὺς λόγους ἐμπίπτειν ἀλλήλοις, βεβαιοῖ ὅπερ φημί· μάλιστα δὲ καὶ πολλὰ τῶν τοπικῶν ἐπιχειρημάτων κοινὰ ἀμφοῖν ταῖν τέχναιν, καὶ ἐνθύμημα, καὶ παράδειγμα, καὶ ἄλλα.

Ἀλλ᾽ οὖν καίτοι τῆς Λογικῆς κοινὰ ἐχούσης πρὸς τὴν Ῥητορικὴν καὶ Γραμματικὴν, περὶ ὧν τῆς διαφορᾶς ὕστερον εἰρήσεται, ὅμως δὲ τὸ περὶ Συλλογισμῶν καὶ Ἀποδείξεως, ἅμα τῇ Γεωμετρικῇ διδασκαλίᾳ ἀρχὴν ἔσχεν· ὅπερ καὶ Πλάτων οἶμαι συνιδὼν, ἐπέγραψε τῇ εἰσόδῳ τῆς Ἀκαδημίας τὸ,

« Μηδεὶς ἀγεωμέτρητος εἰσίτω.

Ἁπανταχοῦ γὰρ ἐν τοῖς Διαλόγοις Γεωμετρικῶς, βαδίζων ἐπιχειρεῖ, ὥς τε τὸν ἄπειρον μαθηματικῆς, οὐ δυνατὸν ὀρθῶς ἐμβατεύειν τῇ διανοίᾳ τῶν Διαλόγων· ὅπερ καὶ Ἀριστοτέλης διδαχθεὶς, τὰς Κατηγορίας δίκην μαθηματικῶν, ἀξιωμάτων τῆς Λογικῆς προέταξεν. Εἶτα προβὰς εἰς τὰ Ἀναλυτικὰ τὰ πρότερα ἐν τῷ π ε ρ ὶ τ ῶ ν ἐ ν τ α ῖ ς ἁ π λ α ῖ ς π ρ ο τ ά σ ε σ ι ν Ἀ ν τ ι σ τ ρ ο φ ῶ ν, φησὶν, οἱονεὶ ἐφαρμόζων τοὺς λόγους τοῖς μεγέθεσιν ἀποφαίνεται· « Ἔστω καθόλου στερητικὴ ἡ ΑΒ πρότασις. » Ὥσπερ εἰ ἔλεγεν, ἔ σ τ ω τὸ ΑΒΓ τ ρ ί γ ω ν ο ν. Καὶ ἐν τοῖς ἐφεξῆς δὲ ἐν τοῖς τῆς Ἀποδείξεως Συλλογισμοῖς, τοῖς γράμμασιν οἷόν τισι γραμμαῖς χρῆται. Ἐντεῦθεν, οἶμαι, καὶ τοὺς Ἀλγεβρικοὺς τὸ ἐνδόσιμον ἔπειτα λαβόντας, τοῖς γράμμασι τὸ καθόλου ἀπένειμαν, χρώμενοι αὐτοῖς ἀντὶ τῶν ἀριθμητικῶν χαρακτήρων, ὡρισμένην δηλούντων ποσότητα. Τοῦθ᾽ ὅπερ καὶ ὁ Γαληνὸς συνιδὼν, εὐθὺς ἀναβαλλόμενος τὰ τῆς Διαλεκτικῆς, τὸ ἀξίωμα,

τὰ ταὐτῷ ἴσα καὶ ἀλλήλοις εἶναι ἴσα,

ὡς πρῶτον παράδειγμα Συλλογισμοῦ προτέθεικε. Καὶ ὀρθῶς ἄρα καὶ ὁ Γάλλος σοφὸς Κονδιλλιὰκ ἐν τῇ αὐτοῦ Λογικῇ ἀπεφήνατο, μαθηματικῆς δεῖσθαι τὸν καλῶς βουλόμενον συλλογίζεσθαι. καὶ συλλογισμούς τινας προτείνας μαθηματικῶς ἐπέλυσεν, ἐπιστήσας κάλλιστα τῷ Πλατωνικῷ ἐπιγράμματι, δι' οὗ τοὺς ἀμυήτους Γεωμετρίας ἐκ τοῦ χοροῦ τῶν παρ' αὐτοῦ μαθητιώντων ἀπεπέμπετο, μὴ μάτην τὸ πολύτιμον τοῦ χρόνου καταναλίσκοιεν, μηδὲν τῆς διδασκαλίας δυναμένους ἀπώνασθαι.

Τῆς οὖν Διαλεκτικῆς μέρη ἐχούσης τὸ ὁριστικὸν, τὸ διαιρετικὸν, τὸ ἀναλυτικὸν, τὸ ἐπαγωγικόν τε καὶ Συλλογιστικὸν, οὐκ ἄντις φαίη μὴ εἶναι ταῦτα καὶ τῆς Γεωμετρίας, τοῦ ἀρχικωτάτου τῶν περὶ τὰ μεγέθη μαθημάτων· καίτοι ὁ Σωκράτης πρῶτος ἐπιστήσας τοῖς ὁρισμοῖς, πάνυ καλῶς ἐξηκριβώσατο, ὡς δι' αὐτῶν ἢ τῆς φύσεως τοῦ πράγματος δηλουμένης, ἢ τῆς ἐννοίας, ἣν τῷ ὁριστῷ περιάπτομεν, κἀντεῦθεν πολλὰς λογομαχίας ἐν ταῖς διαλεξέσιν ἀποσοβεῖσθαι, καθὰ καὶ ἐν ταῖς Σημειώσεσι τῆς εἰς τὸ Γαλλικὸν μεταφρασθείσης μοι ῥητορικῆς τοῦ Ἀριστοτέλους εἴρηται· ἀλλ' οὐκ ἀγεωμέτρητος αὐτοῖς ἐπέστησε, τὴν ἀληθῆ, ἢ ὡς ἀληθῆ ὑπολαμβανομένην ἔννοιαν τοῦ ὁριστοῦ μεταδιώξας· Ἀνάγκη γὰρ τῷ ὀρθῶς διαλεγομένῳ ἔχειν ὡρισμένην τὴν σημασίαν τῶν ὀνομάτων, ὡς τὰ μεγέθη ἔχει τὴν τοῦ ποσοῦ, καὶ οἱ ἀριθμοὶ τὴν τοῦ πλήθους. Ἐν τοῖς μαθήμασι μέντοι τὰ ὁριστὰ, ἄντε μεγέθη, ἄντε πλήθη ὦσιν, ὑπὸ πάντων μονονοὺ τῶν ἀνθρώπων οὕτως ἔχειν καὶ μὴ ἄλλως γινωσκόμενα, ἐναργεῖς τοὺς ὁρισμοὺς ἔχουσιν. Ἐν δὲ τῇ Διαλεκτικῇ, περὶ πᾶν γνωστικὸν ὑποκείμενον ἀσχολουμένῃ, ὧν τὴν οὐσίαν καταλαβεῖν ἀδύνατον ἐκ τῶν προτέρων, ἐνίων δὲ, οὐδ' ἐκ τῶν ὑστέρων, καὶ τῆς διανοίας ἄλλως παρ' ἄλλοις διακειμένης, καὶ τὰ πλεῖστα ῥεμβομένης, ἀνάγκη τοὺς ὁρισμοὺς ἑρμηνευτικοὺς εἶναι μᾶλλον τῆς φωνῆς, καὶ τοῦ ὀνόματος, ἢ τοῦ πράγματος. Τῶν δὲ φωνῶν αἱ πλεῖσται πλεοναχῶς λεγόμεναι, πολλὰς λαβὰς παρέχουσι τοῖς διαλεγομένοις πρὸς ἀμφισβήτησιν. Οὐδὲ γὰρ οὐδὲ τὰ ἔνδοξα, ἐξ ὧν ἡ Διαλεκτικὴ περαίνει τὰ πλεῖστα, παντελῶς εἰσιν ἀνεπίληπτα, ἅτε δὴ παρ' ἄλλοις ἄλλα τὰ ἔνδοξα· οὐδεὶς μέντοι γε ἰσχυρίσθη ποτὲ

μὴ ἴσας εἶναι τὰς ἀπὸ τοῦ κέντρου ἐπὶ τὴν περιφέρειαν ἀγομένας γραμμὰς, μὴ δὲ Τρίγωνον μὴ εἶναι τὸ ἔχον τρεῖς γωνίας· ὅπου γε ἡ φύσις τῶν ἄλλων ὅσα γινώσκομεν ἡμῖν γε ἄδηλος· Εἰ γὰρ ἐν Ἰατρικῇ φέρε ἐγινώσκομεν τὸ νοσοποιοῦν αἴτιον, ἐφεύρομεν ἂν καὶ τὸ ἀντίδοτον· νῦν δὲ πλὴν εὐαρίθμων τινῶν ἀληθῶς ἀντιφαρμάκων· οἷον, τῆς κίννας ἐπὶ πυρετῶν, τῆς φλεβοτομίας ἐπὶ γενικῆς φλογώσεως, τῶν βδελλῶν ἐπὶ μερικῆς, τῶν τε διὰ τοῦ θείου ἀλειμμάτων ἐπὶ τῶν ἐπιδερμικῶν παθῶν, καὶ τοῦ ὑδραργύρου ἐπὶ τῶν ἀφροδισιακῶν, καὶ τῶν ἱδρωτικῶν ἐπὶ τῆς κρυολογίας, ἡ λοιπὴ θεραπεία ἐκ τῆς τοῦ Ἰατροῦ ἀγχινοίας ἤρτηται. Ποικιλλομένων γὰρ καὶ κράσεων, καὶ περιέχοντος, καὶ διαίτης, καὶ ἡλικίας, καὶ αὐτῶν τῶν αἰσθητικῶν ὀργάνων, ἐξ ὧν καὶ τὸ διαγνωστικὸν πολλάκις ἁμαρτάνεται, οὐχ ὁμοίως θεραπεύει τὰ αὐτὰ φάρμακα. Ὅπερ οὐχ ἁπλῆν καθίστησι τὴν τῆς Ἰατρικῆς διδασκαλίαν. Καίτοι, ὥςπερ ὁ Πλάτων γεωμετρικοὺς βούλεται τοὺς πρὸς αὐτὸν φοιτῶντας, οὕτω καὶ Γαληνὸς τοὺς μαθητιῶντας τὴν Ἰατρικήν. Ἐθέλει δὲ ὡς ὁ Πλάτων πεποίηκεν ἐν τῇ Διαλεκτικῇ, τὴν Γεωμετρικὴν προσαρμόζεσθαι τῇ Θεραπευτικῇ, ἐν οἷς φησίν·

« Οἶμαι κἀπὶ τῶν τὴν Ἰατρικὴν τέχνην ἀποδεικνυμένων « ἁπάντων εἰς πρώτας τινὰς ἀναποδείκτους προτάσεις, καὶ ἐξ ἑαυ- « τῶν πιστὰς, ἀνάγεσθαι χρῆναι πάντα· καὶ εἴπερ οὕτως ἅπαν- « τες ἐπεχείρησαν εἰπεῖν τι περὶ τῆς θεραπευτικῆς μεθόδου, « πάντως ἄν που καὶ συνεφώνησαν ἀλλήλοις, ὥςπερ οἱ Ἀριθ- « μητικοί τε καὶ οἱ Γεωμέτραι, καὶ οἱ Λογιστικοί (1) μαθεῖν « γοῦν ἐστι παρ' ἐκείνων εὐθὺς κατ' ἀρχὰς, ὁποῖον μέν τι δηλοῦ- « ται πρὸς ἑκάστου τῶν ὀνομάτων, οἷς μέλλουσι χρῆσθαι·

(1) Λογιστικοὺς λέγει, οὓς οἱ νεώτερος Ἀλγεβρικοὺς ἐκάλεσαν· ὅτι γὰρ οἱ παλαιοὶ καὶ μάλιστα οἱ Πυθαγορικοὶ ἐγίνωσκον τὰς τοῦ πρώτου λεγομένου βαθμοῦ Ἰσότητας Ἀλγεβρικὰς, δηλοῦσι τὰ παρὰ Διοφάντῳ τεσσαράκοντα πέντε προβλήματα· ὧν τὸ μ' κἂν τοῖς Ἐπιγράμμασι φερόμενον ἁπλούστερον

καὶ ὀρθῶς ἄρα τὸ ἐν Σορβώνῃ συνεστηκὸς τῆς Δημοσίου ἐν Γαλλίᾳ διδασκαλίας Συμβούλιον ἐθέσπισε καὶ περὶ μαθηματικῶν ἐξετάζεσθαι, τοὺς διδαχθησομένους τὴν Ἰατρικὴν καὶ Νομικήν· γυμνάζει γὰρ ταῦτα καὶ τὸ προσεκτικὸν τοῦ νοὸς, καὶ πρὸς τὸ θηρᾷν τἀληθὲς μὴ περιτρέχοντας καὶ παρατρέχοντας, καὶ τὰ ἔξω τοῦ πράγματος λέγοντας, ἀλλ' ἀποδεικνύειν τ' ἀληθὲς ἐκ τῶν οἰκείων καὶ αὐτῷ προσηκόντων, ὡς ἐν τοῖς Διαλόγοις τοῦ Πλάτωνος φαίνεται.

Ὅτι δὲ καὶ τὸ Διαιρετικὸν, τὸ ἀπὸ τῶν γενῶν ἐπὶ τὰ ὑπ' αὐτοῖς ἰέναι, καὶ τὸ Ἀναλυτικὸν ἀπὸ τῶν ἐν μέρει ἐπὶ τὰ κοθόλου, ἢ ἀπὸ τῶν ἀποτελεσμάτων ἐπὶ τὰ αἴτια· καὶ τὸ Ἐπαγωγικὸν, καθ' ὃ πολλαὶ μαθηματικαὶ προτάσεις κατὰ τὸ ἀδύνατον ἀποδείκνυνται, ἔνεισιν ἐν τῇ Μαθηματικῇ, περιττὸν ἂν εἴη λέγειν.

Ἀλλὰ, φαίη τις ἂν, πῶς ὁ Πλάτων ἐν τῷ Ζ τῶν πολιτειῶν ἐξαίρων τὴν Διαλεκτικὴν, εὐτελίζει τὴν Γεωμετρίαν; λέγει γάρ·

ὂν, καὶ πολλαπλασιασμῷ μόνῳ λυτὸν, ἀναφέρεται εἰς τὸν Ἀγῶνα τὸν εἰς Ὅμηρον καὶ Ἡσίοδον ἀναφερόμενον, ἔχον οὕτως·

« Ὅμηρος Ἡσιόδῳ ἐρωτήσαντι, πόσον τὸ τῶν Ἑλλήνων
« Πλῆθος τὸ κατὰ τῆς Ἰλίου στρατεῦσαν. »

Ἀπεκρίνατο οὕτως·

« Ἑπτ' ἔσσαν μαλεροῦ Πυρὸς ἐσχάραι, ἐν δὲ ἑκάστῃ
« Πεντήκοντ' ὀβελοὶ, περὶ δὲ κρέα πεντήκοντα,
« Τρίς τε τριηκόσιοι περὶ ἓν κρέας ἔσσαν Ἀχαιοί. »

Ὅπερ ἀριθμὸν δίδωσι 225000, ἰσαρίθμων ληφθέντων τοῖς ὀβελοῖς τῶν κρεῶν. Ἀλλ' οὐ περὶ τῆς ἀληθοῦς ποσότητος τοῦ Ἑλληνικοῦ στρατοῦ πρόκαιται νῦν διευκρινεῖν. Ὁ γὰρ Θουκυδίδης τὸ μέσον λαβὼν τῶν 120 καὶ 50 ἀνδρῶν, ἐν ἑκάστῃ τῶν 1200 νεῶν νηΐ, εὗρεν ἄνδρας στρατιώτας 101,000· ἤτοι $120\times50=85\times1200=101,000$· ἀλλ' ὅτι οὐκ ἀΐδρεις ἦσαν οἱ ἐπὶ Ὁμήρου Λογιστικῆς ἀρχῆς· Δηλοῖ δὲ καὶ Ἀγαμέμνων αὐτὸς, ἐν οἷς φησὶν ἐν Ἰλιάδος β' στιχ. 125·

« Τρῶας μὲν λέξασθαι ἐφέστιοι ὅσοι ἔασιν·
« Ἡμεῖς δ' ἐς δεκάδας διακοσμηθεῖμεν Ἀχαιοὶ,
« Τρώων δ' ἄνδρα ἕκαστον ἑλοίμεθα οἰνοχοεύειν,
« Πολλαί κεν δεκάδες δευοίατο οἰνοχόοιο. »

« Αἱ δὲ λοιπαὶ, ἃς τοῦ ὄντος τι ἔφαμεν ἐπιλαμβάνεσθαι, Γεω-
« μετρίαν τε καὶ τὰς ταύτῃ ἑπομένας ὁρῶμεν, ὡς ὀνειρώττουσι
« μὲν περὶ τὸ ὂν, ὕπαρ δὲ ἀδύνατον αὐταῖς, ἕως ἂν ὑποθέσεσι
« χρώμεναι, ταύτας ἀκινήτους ἐῶσι, μὴ δυναμένας λόγον διδόναι
« αὐτῶν· ᾧ γὰρ ἀρχὴ μὲν, ὃ μὴ οἶδε, τελευτὴ δὲ καὶ τὰ μεταξὺ,
« ἐξ' οὗ μὴ οἶδε συμπέπλεκται, τίς μηχανὴ τὴν τοιαύτην ὁμολο-
« γίαν ποτὲ ἐπιστήμην γενέσθαι; Οὐδεμία ἦδ' ὅς· Οὐκοῦν, ἦν
« δ' ἐγὼ, ἡ Διαλεκτικὴ μέθοδος μόνη ταύτῃ πορεύεται, τὰς ὑπο-
« θέσεις ἀναιροῦσα, ἐπ' αὐτὴν τὴν ἀρχὴν, ἵνα βεβαιώσηται. »

Οὐ φαυλίζων τὴν Γεωμετρίαν ταῦτά φησιν, ἀλλ' ἐπεὶ τὰ Μαθή-ματα ἐν μεταιχμίῳ κεῖται ὕλης καὶ ἀϋλίας. ὡς δ' ἑκατέρας μετέχοντα, ἀδυνάτως ἔχουσι ποδηγετεῖν τὸν νοῦν ἐπὶ τὸ αὐτοὸν, ἢ τὸ αὐτοαΰλον· ὅμως δέ φησι συνερίθοις καὶ συμπεριαγωγοῖς χρῆται ταῖς τέχναις αὐταῖς ἢ ἐπιστήμαις· χρῆται δηλονότι τῇ Γεωμετρικῇ μεθόδῳ πρὸς τὸ ἐξικέσθαι ἀποδεικτικῶς τοῦ αὐτοόντος. Καὶ χάριτας ὁμολογητέον τῷ ἀνδρὶ, ὅτι τὸν Διαλεκτικὸν τρόπον εἰς τὸ τελεώτατον προήγαγε· Φασὶ δὲ οἱ Παλαιοὶ, μαρτυροῦντος Διογένους τοῦ Λαερτίου, Ζήνωνα Πρῶτον Διαλόγους γράψαι· Ἀριστοτέλης δὲ Ἀλεξαμενὸν τὸν Στυρέα ἢ Τήϊον· ἴσμεν ἀλλ' οὖν καὶ πρὸ αὐτῶν τὸν Ἐπίχαρμον ποιητικῶς ἐν ἐρωτήσει λόγον προενεγκόντα· Ὁ μέντοι ἀκριβώσας τὸ εἶδος τῶν Διαλό-γων, καὶ τὰ Πρωτεῖα δικαίως ἂν, ὥσπερ τοῦ κάλλους, οὕτω καὶ τῆς εὑρέσεως ἀποφέρεσθαι, φησὶν ὁ Λαέρτιος· καὶ πρῶτος αὐτὸς πρὸς τοῖς ἄλλοις καὶ Διαλεκτικὴν ὠνόμασε· ὅθεν καὶ Ἀριστοτέλης ἱκανὰ διακούσας τοῦ ἀνδρὸς, καὶ τοῖς αὐτοῦ Διαλόγοις ἐπιστήσας, πρῶτος ξυνέταξε τὴν Λογικὴν, ἀκριβώσας τὸ περὶ Συλλογισμῶν ἐντελέστατα·

Οἶδα δὲ ἀνεγνωκὼς τοῦ Ἀλκίνου τὸ περὶ Πλατωνικῶν δογμάτων βιβλίον, κεφ. ς'· ὅτι φησὶ καὶ Πλάτωνα διεγνωκέναι, ναὶ μὴν καὶ κεχρῆσθαι τοῖς τε κατηγορικοῖς, καὶ ὑποθετικοῖς καὶ μικτοῖς Συλλο-γισμοῖς· ἀλλ' ὁ Πλατωνικὸς αὗτος σοφὸς ἀκμάσας περὶ τὸ 115 ἔτος μετὰ Χριστὸν, καὶ ἐκμαθὼν τὰ τοῦ Ἀριστοτέλους, ἐξεῦρε τοὺς ἐν τῷ Πλάτωνι Συλλογισμούς.

Τὸ δέ γε ὑπενδοιάζειν μὴ εἶναι τὸν Ἀριστοτέλην πρωτουργὸν τῆς Συλλογιστικῆς ταύτης ἐπιστήμης, ἀλλ' ἑτέρου ὄντος, αὐτὸν σφετερίσασθαι τὸ πόνημα, καὶ ταῦτα αὐτὸν ἑαυτῷ ἐπιγράψαντα τὸ ξύγγραμμα, φθονοῦντός ἐστι διανοίας· Οὐ δὲ γὰρ Ἀριστοτέλους λέγειν μὲν αὐτὸν εὑρετὴν τῶν Διαλεκτικῶν κανόνων, σφετερίζεσθαι δὲ, καὶ οἰκεῖον ἀναγράφειν τὸ ἀλλότριον· παρὰ πόδας γὰρ ὁ ἔλεγχος τό τ' ἂν ἐγίγνετο· ὅπουγε καὶ Πλάτων ὑποσυλήσας ἐν τοῖς ἑαυτοῦ τὰ περὶ φυσικῆς τῷ Δημοκρίτῳ δόξαντα, οὐ διέφυγε τὸ παρὰ τοῖς σοφοῖς ὀφλισκάνειν γέλωτα· καὶ ταῦτα μηδὲν περιαυτολογήσας· ὁ δέ γε Ἀριστοτέλης ἐπιδεικνύμενός πως αὐτὸς εἶναι εὑρετὴς, μὴ ὢν δ' ἐπ' ἀληθείας, πολλῷ ἂν ἔδοξε γελοιότερος· Οὐ γὰρ οἱ πάλαι τοῖς αὐτοῖς ἡμῖν περὶ τὰ τοιαῦτα ἤθεσιν ἐχρῶντο· ἐξῆν γὰρ αὐτοῖς οὐ μόνον ἐλέγχειν τὰ μὴ καλῶς εἴτε λελεγμένα, εἴτε πεπραγμένα, ἀλλὰ καὶ ψέγειν δημοσίως· Μαρτυρεῖ δὲ ἥ τε τῶν παλαιῶν ποίησις, καὶ οἱ κατὰ ῥήτορας λόγοι, μάλιστα δὲ οἱ παρ' αὐτοῖς κανόνες περὶ τὰ ψόγου καὶ ἐπαίνου, ὧν ἡ αὐτὴ ἐπιστήμη ἀμφοῖν· Φησὶ δέπου, ἵνα τοὺς πολλοὺς ἄλλους παρῶ, Κλήμης ὁ Ἀλεξανδρεὺς, λέγων οὑτωσί·

> « φημὶ δ' οὖν ἔπαινον καὶ ψόγον, ἢ ἐπαίνῳ τι ἐοικὸς καὶ ψόγῳ,
> « μάλιστα πάντων τοῖς ἀνθρώποις ἀναγκαιότατα. »

Τῶν δὲ ἠθῶν τοιούτων τότε ὄντων, οὐκ ἂν ἔλαθεν Ἀριστοτέλης τυμβωρυχίας φεύγων. Τὸ γὰρ τὰς ἀλλοτρίας γνώσεις σφετερίζεσθαι, τυμβωρυχίας οὐ διέφερε· καθ' ἡμᾶς δὲ τάγε τοιαῦτα οὐ ψεκτὰ, ἐξὸν ἑκάστῳ λέγειν ὅ, τι ἂν αὐτῷ εἴη βουλομένῳ. Τό, τε ἀντιλέγειν, ἢ ἐλέγχειν, καὶ τὰ τῶν ἄλλων διαιτᾷν, τοῦ τ' ἐστὶ τὸ ἐπίψογον· καὶ ἐσθ' ὅτε τῇ καλουμένῃ ἀμφομαχίᾳ μετέρχεται, καὶ ὁ ὀρθῶς μάλιστ' ἀντιλέγων, πολλάκις τὸν περὶ ψυχῆς τρέχει (1)· καὶ συμβαίνει ἄρα τὸ τῆς ἐλευθερίας ἄκρατον εἰς τὸ τυραννικὸν μεταδιαιτᾶσθαι, ἐὰν μὴ νόμῳ τὸ φύσει πλεονεκτικὸν τοῦ ἀνθρώπου πρὸς τὸ εὖ ζῆν

(1) Εἴρηταί μοι περὶ τούτου κἀν τῷ πολιτικῷ μοι Συγγράμματι τῷ 1836 ἐν Παρισίῳ ἐκδοθέντι.

ἰθύνηται, ἐν κοινωνίᾳ πεφυκότος βιοτεύειν· Οὐ δεῖ οὖν τῇ στάθμῃ τῶν ἡμετέρων ἠθῶν τὰ τῶν πάλαι ταλαντεύεσθαι, μηδὲ τὸν Ἀριστοτέλην ἀφελεῖν τὸ γεραίρεσθαι, ἐφ' οἷς φιλοπονίᾳ αὐτὸς ἐξευρῶν δείκνυται.

Τί οὖν οἱ πρὸ Ἀριστοτέλους, ὅσοι γε τοιαῦτα καὶ τοσαῦτα ἡμῖν ξυγγράμματά τε καὶ ποιήματα κατέλιπον, ἀσυλλογιστίας ἁλώσονται; ἢ ὅπερ φησὶν ὁ Τύριος φιλόσοφος

> « Οὗτος μὲν καὶ ἄγαν δεινοπαθῶν, εἴ τις ἡγήσαιτο Ὅμηρον
> « καὶ Ἡσίοδον, ἢ νὴ Δία καὶ Ὀρφέα, ἢ ἄλλον τινὰ τῶν τότε
> « ἀνδρῶν, ἧττον εἶναι σοφώτερον Ἀριστοτέλους τοῦ Σταγειρίτου,
> « ἢ Χρυσίππου τοῦ Κίλικος, ἢ Κλειτομάχου τοῦ Λίβυος, ἢ τῶν τὰ
> « πολλὰ καὶ σοφὰ ταῦτα ἡμῖν ἐξευρηκότων, ἀλλ' οὐχὶ καὶ τούτους
> « ὁμοίως μὲν καὶ τὰ αὐτὰ δεινούς, εἰ μὴ καὶ μᾶλλον ..., »

Ἀλλ' ὦ μέγιστε Μάξιμε, κατ' ἄλλα μὲν ἐκεῖνοι ὑπῆρξαν σοφώτεροι, κατ' ἄλλα δὲ οἱ περὶ Ἀριστοτέλην καὶ Χρύσιππον· διόπερ οὐ δὲ λέγομεν τοὺς παλαιοὺς ἀσόφους τινὰς γεγονέναι, μάλιστα δὲ καὶ θαυμάζομεν, καὶ μονονοὺ χειροκροτοῦμεν αὐτοῖς ξυνῳδὰ τῷ ἐξ Ἁλικαρνασσοῦ Διονυσίῳ, ἐπὶ τῇ κατὰ φύσιν παρ' Ὁμήρῳ σχηματολογίᾳ, καὶ λεξιουργίᾳ· διαιροῦμεν δὲ καὶ τὸ τῆς σοφίας ὑποκείμενον· καὶ τοὺς μὲν κατὰ τοῦτο λέγομεν, τοὺς δὲ κατ' ἐκεῖνό φαμεν σοφούς· καὶ διὰ τιμῆς μὲν ἄγομεν τὸν Ἀριστοτέλην, ὡς σοφὸν τά τε ἄλλα, καὶ ἐφ' οἷς πονήσας ἐξεῦρε τοὺς διαλεκτικοὺς κανόνας· δι' ἐπαίνου δὲ τὸν Χρύσιππον, ἐφ' οἷς πᾶσαν φράσιν, οὕτω φάναι, τοῦ καθ' ἕλληνας λόγου ἐξακριβωσάμενον, ἀληθείας τε πέρι καὶ ψεύδους, καὶ νοημάτων ὀρθότητος, ὡς καὶ κατὰ πᾶν Συλλογιστικὸν σχῆμα, γλῶτταν θεῶν τὴν τῶν Ἑλλήνων καὶ εἶναι καὶ λέγεσθαι. Τὰ μὲν γὰρ φλεγμαίνοντα τῶν ὀνομάτων, καὶ ὁ τῶν λέξεων ὄγκος, ἥ τε τῶν μύθων εὕρεσίς τε καὶ διάθεσις τῶν ποιητικῶν, καὶ ὅσα ἄλλα ἐς κάλλος ἤσκηται παρ' αὐτοῖς, δαιμονίους τοὺς ἄνδρας ἐκείνους ἀείποτε διακηρύξουσι, καὶ

> « ὧν τὸ κλέος οὔποτ' ὀλεῖται·

Τά γε μέν τοι τοιαῦτα, καί τοι ἐλαττούμενοι οἱ μετέπειτα φιλοσοφήσαντες, ἀλλ' ἐν ταῖς τοῦ λόγου ἀποδείξεσι, καὶ κατασκευαῖς, κἂν τῷ τὴν ἀλήθειαν ἐν βυθῷ κειμένην, ᾗ Δημόκριτός φησιν, εἰς φῶς ἐξάγειν, τόγ' ἐφ' ἑαυτοῖς, καὶ τοῖς ἄλλοις δηλοῦν, πλεονέκτημ' ἂν θείημεν τοῖς περὶ Ἀριστοτέλην καὶ Χρύσιππον· Καὶ φαίη τις ἂν, μηδὲν ὑποστειλάμενος, τὸ ὅτι γινώσκειν τοὺς πάλαι, ἐν ἀγνοίᾳ δ' εἶναι τοῦ διότι· Καὶ ταῦτα δὴ τά γ' ἡμῖν δοκοῦντα, μέγιστε Μάξιμε· καὶ σὲ μὲν οὖν, καὶ τοὺς κατὰ σὲ ἀχαριστίαν γράφομεν, ὅτι τῆς σοφίας ἀμφοῖν ἐς κόρον ἐμφορηθέντες, δι' ἣν καὶ σοφιστεύεσθε γράφοντες, κατ' αὐτοῖν ἐκείνοιν ἐπαίρεσθε· ἡμεῖς δὲ λυπούμεθα ἐπὶ τῇ ἀπωλείᾳ καὶ τῶν τοῦ Χρυσίππου, καὶ τῶν πολλῶν τοῦ Ἀριστοτέλους, καὶ τῶν ἄλλων παλαιῶν καὶ σοφῶν ξυγγραμμάτων, ὧν τὴν ἀπώλειαν ὅσον ἐπιβλαβῆ τὰ φιλόσοφα καὶ φιλάνθρωπα κυβερνήματα κρίνουσι, καὶ μάλιστα τὸ καθ' ἡμᾶς Γαλατικὸν, αὐτὰ βοᾷ μονονοὺ φωνὴν ἀφιέντα τὰ πράγματα. Ἁπανταχοῦ γὰρ γῆς, τῆς πάλαι ὑπὸ σοφῶν ἐθνῶν κατοικηθείσης, πέμπει ὁ ἡμέτερος ὑπουργὸς Βιλλεμαίνης τοὺς ἀναζητήσοντας, εἴπου εὕροιέν τι τεμμάχιον ἀρχαίας γνώσεως τέχνης, ἢ ἐπιστήμης, πρὸς φωτισμὸν τοῦ ἀνθρωπίνου νοὸς, καὶ τὴν ἐντεῦθεν κατὰ τὸν βίον ὠφέλειαν. Ἀλλὰ τῷ μὲν ἡμετέρῳ Κυβερνήματι ἀπόκειται δόξα καὶ ἔπαινος ἐπὶ τῇδε τῇ φιλοτιμίᾳ καὶ φιλανθρωπίᾳ παρὰ πᾶσι τοῖς ἔθνεσιν ἐς ἀΐδιον· ὅτι πρὸς ἄλλοις τισὶ καὶ τὴν Διαλεκτικὴν Εἰσαγωγὴν τοῦ Γαληνοῦ διὰ τῆς ἐμῆς ἀποστολῆς ἐξεύρατο τῇ φιλοσοφίᾳ, τέως μόνον τὸ Ἀριστοτελικὸν ὄργανον ἐχούσῃ.

Σὺ δὲ καὶ οἱ κατὰ σὲ, ἡλίκον δεινὸν τοῖς μεθ' ὑμᾶς πεποιήκατε, τὰ τοιάδε γράφοντες, πρὸς τὸ φανῆναι σοφοί τινες, οὐ προεγνώκατε. Ταλάντατοι γὰρ ἂν ἦτε ἀνδρῶν, εἰ προεγνωκότες τὴν ἐκ τούτων τοῖς εἰσέπειτα ἐσομένην βλάβην κατὰ Διαλεκτικῆς καὶ ῥητορείας ἐπανέστητε, τῶν μάλιστα λογικῷ ἀνθρώπῳ πρεπουσῶν μαθημάτων. Ἐντεῦθεν γὰρ λαβόντες τοὐνδόσιμον οἱ νεώτεροι σοφοὶ τῆς Ἀγγλίας, Βάκκων τε καὶ Λώκκιος, τὰς Θεωρητικὰς μαθήσεις τοῦ νοὸς ἐξεφαύλισαν, μὴ καλῶς εἰδότες, ὅ, τι περ ἂν εἴη Διαλεκτική τε καὶ Ῥητορική· πόθεν καὶ γὰρ καὶ παρὰ τίνος ἂν μάθοιεν; τὰ γὰρ τοιάδε τῶν μαθημάτων,

εἴπερ καὶ ἄλλα τινὰ, διδασκαλίας ζώσης δέονται, καὶ οὐχ ἁπλῆς Θεωρίας· οἱ δὲ ματαιοτεχνίας τινὰς οὔσας καὶ νοὸς παίγνια τοὺς εὐηθεστέρους ὑπολαμβάνειν μὲν παρέπεισαν, ἀντέχεσθαι δὲ μᾶλλον τῆς πείρας, μόνης ποδηγοῦ ἀσφαλοῦς οὔσης πρὸς θήραν τῆς ἀληθείας. Πρὸς οὓς διὰ βραχέων, τά δε ῥητέον.

Τὰς μὲν ὑλικὰς καὶ διὰ τῶν αἰσθήσεων μαθήσεις, οἷαίπερ αἱ τῆς Φυσικῆς ἁπλῶς, καὶ Ἀστρονομίας, Ἰατρικῆς τε καὶ Χημείας, καὶ εἴτινες ἄλλαι, εὖ ἂν ἔχοι διὰ πείρας μανθάνεσθαι· αἱ δὲ νοητικαὶ γνώσεις, πῶς ἂν τῇ πείρᾳ καταληπταὶ γίγνοιντ᾽ ἄν; αἱ τῆς Λογικῆς λέγω, καὶ Ῥητορικῆς, καὶ Μεταφυσικῆς, καὶ Ἠθικῆς, καὶ νὴ δία γε καὶ αὐτῆς τῆς Πολιτικῆς· πῶς γάρ τι πολιτικὸν συμφέρον τῇ πείρᾳ ἐπιτρέψομεν, παρομαρτοῦν ταῖς περιστάσεσιν, ἄλλοτε ἄλλως μεταβαλλομέναις; πῶς δὲ διὰ πείρας ἂν εὕροιμεν τὸ ἐμοὶ συνοῖσον, τὸν δ᾽ ἕτερον βλάψον, ἢ ἄλλως παρακροῦσον; τὰ γὰρ τοιάδε, νοὸς δεῖται ἐπιστήμονος, καὶ προμαντικῇ ἐγγεγυμνασμένου, τῶν οὕτως ἢ ἄλλως ἐκβησομένων· καὶ οὐ λέγω νοὸς εὐεπηβόλου μὴ δεῖσθαι τὰς πείρας· δέονται καὶ γάρ· ἀλλ᾽ ἐν ταῖς ὑλικαῖς γνώσεσιν, ἥ τε συνάφεια, καὶ τὸ νεῖκος, καὶ ἡ φιλία τῶν ὁμογενῶν ἢ ἑτερογενῶν μορίων, ἥ τε ἀδράνεια καὶ κινητικότης, καὶ βάρος, καὶ αἱ λοιπαὶ τῶν σωμάτων ἰδιότητες, καὶ αἰσθήσει ληπταί. Πῶς δὲ αἱ νοητικαὶ δυνάμεις καὶ ἐνέργειαι πείρᾳ ὑποπεσοῦνται; Εἰ δὲ ἡ πεῖρα γνῶσίς ἐστιν ἐπανειλημμένη τῶν ἀεὶ ὡσαύτως ἐχόντων, πῶς ὁ μὲν σκέπτεται οὕτω περὶ τοῦ αὐτοῦ πράγματος, ὁ δὲ ἄλλως, καὶ ἀμφότεροι Ἰσοδίδακτοι ὄντες καὶ Ἰσομαθεῖς; καὶ πῶς ὁ μὲν τουτὶ καλὸν, ἢ δίκαιον, ἢ αἱρετὸν οἴεται, ὁ δὲ τοὐναντίον; Ἀνάγκη γὰρ τὴν πεῖραν τὴν αὐτὴν παρέχειν γνώμην ἅπασιν, εἰ δὲ μὴ, ἔσονται ἀνάριθμοι αἱ πεῖραι, ὥςπερ καὶ τὰ ἄτομα, ἐξ ὧν ἐπιστήμη οὐκ ἄν ποτε συσταίη, φασὶν οἱ Παλαιοί· Ὅσα γὰρ ἐν κινήσει καὶ ἀλλοιώσει καὶ ποικιλίᾳ ἀεὶ ὄντα, οὐκ ἐκ τῆς πειραματικῆς ἂν κρατύνοιτο, ἀλλ᾽ ἐκ τῆς νοητικῆς καὶ θεωρητικῆς ἀποδείξεως· Δυνατὸν γὰρ καὶ ἄλλας τέχνας ἢ ἐπιστήμας μήπω κατειλημμένας, προοδοποιηθῆναι καὶ διδακτόν τι γενέσθαι, ὥςπερ ἡ Λογικὴ, καὶ ἡ Ἠθικὴ, καὶ ἡ Μεταφυσικὴ, λέγω τὴν Πολιτικὴν, εἰς

ἀρχάς τινας, ὥς μοι τοιοῦτόν τι ἐσχεδίασται, ἀναχθῆναι, τῇ σκέψει μᾶλλον καταβληθησομένας ἢ τῇ πείρᾳ. Θηρευτέον οὖν ἐπὶ μὲν ὑλικῶν διὰ πείρας τ' ἀληθὲς, ἐπὶ δὲ τῶν θεωρητικῶν διὰ συλλογιστικῶν ἀποδείξεων.

Ὁ μὲν οὖν Βάκκων τὴν Διαλεκτικὴν ἐκφαυλίζων, καὶ τοῦ Ἀριστοτελικοῦ ὀργάνου κατειρωνευόμενος, οἰκεῖον ὄργανον συνέταξεν, ὀρθότερον ὥςπερ οἴεται τοῦ Σταγειριτικοῦ· φαίη μέν τ' ἂν ἄλλος τις ὄργανον ἀνοργάνιστον συντεταχέναι τὸν ἄνθρωπον· Εἰ γὰρ ἐζητεῖτο ἐπικρῖναι ἐνταῦθα, ὡς ἔχει τάξεως, καὶ διαθέσεως, καὶ ἀλληλουχίας καὶ συναφείας ἐννοιῶν, ἢ προόδου αὐτῶν ἑτέρας ἐξ ἑτέρας, οὐκ εἶχον ὅ, τι ἂν λέγοιμι· Οὐ δὲ γὰρ στάθμην τινὰ εὑρίσκω πρὸς παραβολὴν τῶν ἐπιχειρημάτων, καὶ κατασκευῶν, καὶ ἀποδείξεων· οἱ γὰρ συλλογιστικοὶ κανόνες τοῦ Ἀριστοτέλους, οὐκ ἂν ἐφαρμοσθεῖεν τῷ τοῦ ἀνδρὸς συγγράμματι. Κάτοι δέδεικται ἀνωτέρω τὸ ὄργανον τοῦ Ἀριστοτέλους γεωμετρικῇ μεθόδῳ συντεταγμένον, καὶ βεβηκὸς ἐπὶ τοῖς Διαλόγοις τοῦ Πλάτωνος, γεωμετρικώτερον οὖσι καὶ αὐτοῖς γεγραμμένοις. Εἰ δὲ οὗτοι ἄριστα γεγράφαται, ὡς ἐκ τῶν ἐνδόξων δέδεικται καὶ ὡμολόγηται· φαίη δ' ἂν ὁ Κικέρων καὶ θειότατα· οὐ γὰρ ἂν ὁ Ζεὺς ἐπὶ γῆς κατιὼν, βέλτιον ἂν λαλήσειε Πλάτωνος· εἰ οὖν φημι τὸ Ἀριστοτελικὸν ὄργανον κανόνας φέρει τοῦ Συλλογίζεσθαι κατὰ τοὺς Πλάτωνος Διαλόγους, καθῶς ἂν ὁ Πατὴρ ἀνδρῶν τε καὶ θεῶν διαλεχθείη, τὸ δέγε τοῦ Βάκκωνος ὄργανον, οὐκ ἂν σταθμισθείη, οὐ δ' ἂν εἴτι γένοιτο, τοῖς ἀριστοτελικοῖς κανόσιν, ὁποῖον ἂν εἴη τὸ τοιοῦτον, ἄλλοις συμπερανεῖν παρίημι, εἰ μὴ ἐπιστὰς Διογένης ὁ Λαέρτιος φαίη ἂν,

οὔ τε ποσὸν, οὔ τε ποιὸν, οὔ τε τι, ἐν οἷς τὸ ὄν·

Καὶ ταῦτα μὲν διὰ βραχέων πρὸς τὸν Βάκκωνα.

Ὁ δέ μετ' αὐτὸν Λώκκιος κατὰ τῆς συλλογιστικῆς μεθόδου βιαιότερον ἐπεξέρχεται ἐν τῷ Δοκιμίῳ τῷ περὶ τοῦ ἀνθρωπίνου νοός· ἀσέβειαν δὲ μάλιστά γε οἴεται περὶ τὸ θεῖον, τὸ νομίζειν ὅ τι

Dieu se contentant de faire des créatures à deux

jambes, il ait laissé à Aristote le soin de les rendre raisonnables;

καὶ ἐν κεφ. ιζ′. Βιβλίῳ τετάρτῳ λέγει οὑτωσί·

Combien de personnes incapables de former un syllogisme, et qui ne laissent pas de raisonner d'une manière précise? et à ceux même qui savent former des syllogismes, leur arrive-t-il souvent, lorsqu'ils raisonnent à eux-mêmes, de déduire leur pensée à une certaine forme d'argumentation?

τὸ δὲ ἐφεξῆς ἔτι πολλῷ βιαιότερον·

En effet, l'expérience apprend que ces méthodes artificielles sont plus propres à surprendre l'esprit et à l'embrouiller, qu'à l'instruire et à l'éclairer;

καὶ κατωτέρω δὲ γελοιότερον ἀποχρέμπτεται·

Le syllogisme n'est-il donc d'aucun usage? je réponds qu'il sert à découvrir le faux d'une proposition caché sous l'éclat brillant de quelque figure de rhétorique; qu'il sert à faire paraître un raisonnement absurde dans toute la difformité naturelle;

καὶ πλεῖστα δὲ ἄλλα τοιαῦτα ψυχρολογῶν φαίνεται εἰς τὸ ἀποδεῖξαι τῆς συλλογιστικῆς τέχνης τὸ μάταιον καὶ ἄχρηστον· πρὸς ὃν ὁ Γερμανὸς Λεϊβνίτιος ἀπήντησε μὲν οὐκ ἀμούσως, ἐν οἷς ἔφη

L'invention de la forme des syllogismes est une des plus belles de l'esprit humain, et même des plus considérables (1);

ἀλλ' οὐ πρὸς τὸ οὐσιῶδες τῆς Λωκκικῆς εἰρωνείας.

(1) Leibnitz, *Nouveaux essais sur l'entendement*, liv. IV, chap. XVII.

Ἐγὼ δὲ τὰ τοιαῦτα ἀναγνοὺς καὶ ἀναγινώσκων, οὐκ ἔχω ἄλλο λέγειν, ἢ ὅτι γε οἱ κατὰ τὴν Εὐρώπην, μετὰ τὴν ἐν αὐτῇ ἀναγέννησιν τῶν ἐπιστημῶν φιλοσοφήσαντες, οὐ δὲ γνῶσιν ὀρθὴν ἔσχον τῆς Λογικῆς καὶ Ῥητορικῆς, οὐθ' ἑκατέρας τούτων ὅ, τι περ εἴη τὸ ὑποκείμενον· καὶ διὰ τὴν ἄγνοιαν αὐτῶν εἰς παραδοξολογίας τοιαύτας ἐξωκεῖλαι· Οὐ γὰρ ἂν τοιάδε ἔλεγον, εἴπερ ὀρθῶς ἠπίσταντο, ὅ, τι περ εἴη ἡ Λογικὴ καὶ ἡ Ῥητορική· Ἀλλ' οὖν ἔδει γε φιλοσόφους ὄντας, ἐκ τῶν γνωριμωτέρων ἐπὶ τὰ ἀδηλότερα προβαίνειν, τ' ἀληθὲς θηρῶντας· γνωριμώτερον δὲ, ὡς παντί που δῆλον, ἡ Γραμματικὴ, ἐξ ἧς ἐχρῆν πρὸς τὰς ἄλλας δύο ἀναδραμεῖν· Ὅτι δὲ οὕτως αὐτοὺς ἔδει γε ποιεῖν, ὡς ἐγὼ λέγω, δείκνυμι ὧδε.

Τριῶν ὄντων τῶν περὶ τὸν λόγον ἀσχολουμένων, εἴ τε τεχνῶν δεῖ λέγειν, εἴ τ' ἐπιστημῶν, Γραμματικῆς, Λογικῆς, καὶ Ῥητορικῆς, ὡς πρότερον εἴρηται· ἡ μὲν Γραμματικὴ καθ' ἑαυτὸ καταγίνεται περὶ τὸν λόγον, καὶ τὴν σημασίαν τῶν φωνῶν, καὶ λέξεων, τέλος προβαλλομένη τὸ ὀρθῶς λέγειν καὶ γράφειν, καὶ θεωροῦσα ἀμωσγέπως τὴν διαφορὰν καὶ συγγένειαν τῶν τοῦ λόγου μερῶν· οἷον, ὀνόματος, ἢ ῥήματος, ἢ ἄρθρου, καὶ τῶν λοιπῶν. Τὸ δὲ ὀρθῶς λέγειν καὶ γράφειν κανόσιν ἰθύνεται, πρὸς οὓς ἄγοντες ἀνὰ μέρη ἕκαστα, ἢ συναλλήλως θεωρούμενα, μανθάνοιμεν ἂν τὴν ὀρθότητα αὐτῶν καὶ λέγοντες, καὶ γράφοντες· πῶς γὰρ ἂν ἄλλως τοῦτο ποιοῖμεν; Τὸ γὰρ ὀρθὸν καὶ μὴ ὀρθὸν, πρὸς στάθμην οὕτως ἔχον κρίνεται· Ὅσα ἄρα ὀρθῶς λέγομεν καὶ γράφομεν, κατὰ τοὺς κανόνας τῆς Γραμματικῆς τοῦτο ποιοῦντες φαινόμεθα· καὶ οὐδὲν σχῆμα λέξεώς ἐστι μὴ ἐμπεριεχόμενον τοῖς κανόσι τούτοις.

Δειχθήτω δὲ τοῦτο καὶ Συλλογιστικῶς διὰ τοῦ Δ σχήματος τοῦ κατὰ Γαληνὸν, περὶ οὗ ἐν τοῖς ἑξῆς εἰρήσεται.

> Τὸ ὀρθῶς λέγειν καὶ γράφειν κατὰ Γραμματικὴν γίνεται·
> ἀλλ' ἡ Γραμματικὴ ἐν κανόσι συνίσταται·
> τὸ ὀρθῶς ἄρα λέγειν καὶ γράφειν ἐν κανόσι συνίσταται·

καὶ οὐκ ἂν φαίη ὁ Λώκκιος κακῶς ταῦτα συλλελογίσθαι· παρὰ πᾶσι

γὰρ τοῖς σοφοῖς ἔθνεσιν ἡ σφετέρα αὐτῶν γλῶττα γραμματικῶς κεκανόνισται.

Μεταβῶμεν καὶ εἰς τὴν Λογικήν· τὸν λόγον γὰρ καὶ αὐτῆς ὑποκείμενον ἔφαμεν· κέχρηται μέντοι τῷ κατὰ φωνὴν λόγῳ, οὐ καθ᾽ ἑαυτὸ, ὥςπερ ἡ Γραμματικὴ, ἀλλὰ δεξαμένη παρ᾽ αὐτῆς ἤδη μεμορφωμένον κατὰ τὸ ὀρθολεκτικὸν, χρῆται αὐτῷ πρὸς ἀπαγγελίαν ὀρθὴν τοῦ ἐνδιαθέτου λόγου τῆς ἐν ἡμῖν γνωστικῆς δυνάμεως. Τὸ δὲ ὀρθὸν τῆς ἀπαγγελίας συνίσταται ἐν τῇ ἀμέσῳ πρὸς ἀλλήλας σχέσει τῶν ἐν ἡμῖν ἰδεῶν καὶ ἐννοιῶν, δηλωτικῶν μὲν τῆς φύσεως τῶν πραγμάτων, ὧν περ ὁ λόγος ὁ κατὰ προφοράν ἐστιν ἐξάγγελος, ὥςτε δὲ τὰς μὲν περιέχειν, τὰς δὲ περιέχεσθαι, καὶ τὰς ἀκαταλήπτους διὰ τῶν καταληπτῶν διαγινώσκεσθαι· Τούτου γὰρ ἕνεκα, ὡς ἀνωτέρω εἴρηται, καὶ Ἀριστοτέλης ἐν τῷ περὶ ἑρμηνείας προέταξεν τὰς Κατηγορίας, ὥςπερ δὴ καὶ τὰ Ἀξιώματα, ἢ τὰς κοινὰς λεγομένας ἐννοίας οἱ μαθηματικοὶ προτάττουσιν· ἐξ ὧν ἀναπηγάζει, οὕτω φάναι, ἡ σχέσις καὶ ὁ λόγος τῶν μεγεθῶν ἢ τοῦ πλήθους, τό, τε ἶσόν φημι, καὶ τὸ πολλαπλάσιον, καὶ διπλάσιον, καὶ ὑποδιπλάσιον, καὶ τὰ ἄλλα· Καὶ ὥςπερ ἐν τοῖς νομικοῖς περὶ Συγγενείας Διαγράμμασιν ὁρῶμεν, τὸν πρόπαππον, πάππον, πατέρα, υἱωνὸν, ἔγγονον, κ. τ. λ. οὕτω καὶ τῇ ὀρθότητι τοῦ ἑρμηνεύοντος λόγου τὰ τῆς ψυχῆς ἡμῶν παθήματα, ἀνάγκη τινὰ σχέσιν εἶναι πρὸς δήλωσιν, διὰ τῆς ἀποδεικτικῆς μεθόδου, τῆς ἀληθείας· ὁ δὲ Συλλογισμὸς οὐδὲν ἄλλο ἐστὶν, ἢ ἔλεγχος ἀποδεικτικὸς τῆς πρὸς ἄλληλα ἀληθοῦς ἢ ψευδοῦς σχέσεως τῶν ὅρων, ἢ λεκτῶν, καὶ τῶν δι᾽ αὐτῶν ἑρμηνευομένων παθῶν τῆς νοητικῆς ἡμῖν δυνάμεως. Τὸ δὲ ἀποδεικτικῶς ἐλέγχειν τὴν τοιάν δε ἢ τοιάν δε σχέσιν τῶν λεκτῶν, ἀνάγκη διὰ κανόνων τινῶν γίγνεσθαι· μὴ γὰρ οὔσης κανονικῆς τῆς σχέσεως, συμβήσεται τὸ τετριμμένον ἐκεῖνο·

πάτταλος ἐν γωνίᾳ,
ἄρα βρέχει·

ἢ τὸ τῇ χυδαίᾳ ἑλληνικῇ λεγόμενον,

πᾶσα θάλασσα ψίαθος,

πᾶσα ψίαθος θάλασσα,
ἄρα κέρασαι τῷ πρωτοψάλτῃ·

Ἐπεὶ δὲ πάνθ' ὅσα λέγομεν ἑρμηνευτικά εἰσι τοῦ ἐνδιαθέτου ἐν ἡμῖν λόγου, ὁ δὲ ἑρμενευτικὸς λόγος, ὑποκείμενόν ἐστι τῆς Λογικῆς, ἅπαντα ἄρα τὰ οὕτω λεγόμενα, ἀνάγεται εἰς τὴν Λογικήν· Καὶ ὥςπερ ἐν τῇ Γραμματικῇ τὰ λεκτὰ, ἀνάγκη εἶναί τινα τῶν μερῶν τοῦ λόγου, ἢ ῥῆμα, ἢ ὄνομα, ἢ ἐπίῤῥημα, καὶ τὰ λοιπὰ, οὕτω κἀν τῇ Λογικῇ, ἅπας ἑρμηνευτικὸς λόγος, ἐξ ἀνάγκης ἐστὶν ἕν τι εἶδος Συλλογισμοῦ· οὐ γὰρ οἷόν τε, τὰ μὲν τοῦ ἑρμηνευτικοῦ λόγου ὑπάγεσθαι τῇ Λογικῇ, τὰ δὲ μὴ, ἀλλὰ πάντα ὑπάγεται, ὡς κἀν τῇ Γραμματικῇ.

Ὁ δὲ καλὸς Λώκκιος μὴ συνιδὼν τοῦτο, μηδὲ καλῶς ἐπιστήσας τοῖς τοῦ Ἀριστοτέλους, ἢ νὴ Δία γε ἐπιστήσας μὲν, μὴ κατανοήσας δὲ, ἄχρηστον τὸν Συλλογισμὸν ἀποφαίνεται, καὶ ἄλλ' ἄττα παραδοξολογεῖ· Ὅμως δὲ ταῦτα οὐ μόνον κώλυμα ἐγένετο τοῦ βελτιωθῆναι τὰς νεωτέρας τῶν γλωσσῶν, ἀλλὰ καὶ τὸ γράφειν ἀτάκτως παρεισήγαγεν, ὅθεν καὶ περιάγουσιν οἱ λεγόμενοι συγγραφεῖς σήμερον τοὺς ἀναγινώσκοντας,

« ἄναντα, κάταντα, πάραντα, δόχμια·

Καὶ ἀρχόμενός τις ἀναγινώσκειν, ἐκ τῆς πρώτης φράσεως ἄλλα ἐλπίσας, ἄλλοις ἐνέτυχε, καὶ πάλιν ἄλλοις, καὶ ἄλλοις, ἄχρι τέλους τῆς βίβλου· ὥςτε ὀρθῶς ἂν ῥηθείη ἐπὶ τῶν νεογλώσσων ξυγγραμμάτων

« πρόσθε λέων, μέσσον δὲ δράκων, ὄπιθεν δὲ χίμαιρα·

Εἶτα καὶ τοῦ Ἀριστοτέλους, εἰρωνεύεται, ὡς δῆθεν ἀνδρός τινος ὑπερθέου. Τοῦ γὰρ θεοῦ, φησὶ, πλάσαντος τὸν ἄνθρωπον ἄλογον, τῷ Ἀριστοτέλει ἐπέτρεψε ποιῆσαι αὐτὸν λογικόν. Τὸ δὲ χρῆμα τῆς εἰρωνείας καὶ πάνυ εὐδοκιμεῖ ἐν τοῖς καθ' ἡμαῖς καιροῖς παρὰ τοῖς μὴ δυναμένοις ὀρθῶς ἀντιλέγειν.

Ἐγὼ δὲ θαυμάζω, εἰ ὁ Λώκκιος ἀληθῶς ἐδιδάχθη τὴν Λογικήν· ἐπιστήσας γὰρ ἐν τῷ αὐτοῦ Δοκιμίῳ, οὐχ εὗρον ἐν οἷς γράφει, τὸ κατὰ Λογικὴν γράφειν· οἷον, ἐν ἀρχῇ τοῦ δευτέρου βιβλίου·

J'appelle idée tout objet qui occupe l'esprit lorsqu'il pense. On m'avouera sans peine que l'homme trouve en lui-même de telles idées; il n'y a personne qui n'en ait le sentiment intérieur, et qui ne puisse juger par les paroles et par les actions des autres hommes, qu'ils en ont de semblables. Ainsi, la première question qui se présente à examiner, c'est comment l'homme vient à avoir des idées.

Ὅ ἐστιν

« Ἰδέαν καλῶ περὶ ὃ καταγίνεται ὁ νοῦς, ὅτε νοεῖ. Πᾶς τις
« ἂν ἑκὼν ὁμολογήσειε τοιαύτας ἰδέας ἐν ἑαυτῷ ἔχειν· καὶ
« οὐδείς ἐστιν ὁ μὴ ἐννοῶν, καὶ μὴ κρίνων ἐκ τῶν λόγων καὶ
« πράξεων τῶν ἄλλων ἀνθρώπων, μὴ καὶ αὐτοὺς ἔχειν ὁμοίας.
« Ζητητέον ἄρα πῶς τῷ ἀνθρώπῳ αὗται ἐγγίγνονται· »

συντεμὼν δέ τις ταῦτα, φήσειεν ἂν,

Ἰδέα ἐστὶν ἡ νόησις τοῦ νοός.
Πᾶς δ' ἄνθρωπος σύνοιδεν ἑαυτῷ ἔχων ὁμοίας ἰδέας·
Ζητητέον ἄρα πῶς ἐγγίνονται αὗται τῷ ἀνθρώπῳ·

μὰ Δία γε, τὸ οὕτω συλλογίζεσθαι, οὔτε Πλάτων, οὔτ' Ἀριστοτέλης ἐγίνωσκον. Οὐδὲ γὰρ ἡ μείζων ἔχει τινὰ σχέσιν πρὸς τὴν Ἐλάττονα, οὔτε αὕτη πρὸς τὸ δῆθεν Συμπέρασμα· καὶ ἔοικε τοὺς νεωτέρους σοφοὺς τὸ εἰκῇ καὶ μάτην καὶ ἀτέχνως συλλογίζεσθαι, Λογικὴν εἶναι ὑπολαμβάνειν. Καὶ ἐπεὶ ἕκαστος τὸ, ὡς αὐτὸς συλλογίζεται, τοῦτ' ὀρθὸν οἴεται συλλογισμὸν, φανερὸν ὅτι ἡ πληθὺς τῶν λογικῶν τεχνῶν ἀνάλογον ἕξει πρὸς τὰ καθ' ἕκαστα· εἰδ' ἐκ τούτων δυνατὸν ἐπιστήμην τινὰ γενέσθαι, Ἀριστοτέλης εἰπάτω. Καὶ τοιοῦτος ὢν ὁ καλὸς Λώκκιος, τὰ τοῦ Ἀριστοτέλους βούλεται διαιτᾶν·

Σφὰξ βομβῶν τέττιγος ἀντίον.

Εἶτα καὶ λέγει, ὅτι πολλοὶ μὴ γινώσκοντες ὅ,τι ἐστι συλλογισμὸς,

ὀρθῶς συλλογίζονται· ἄλλοι δὲ γινώσκοντες, παραλογίζονται· Ἀλλὰ σύγε πόθεν τοῦτ' ἔγνωκας, μὴ γινώσκων αὐτὸς τὸ ὀρθῶς, καὶ μὴ συλλογίζεσθαι; Ἀλλὰ τούτων ἅλις.

Μεταβῶμεν δ' ἤδη καὶ ἐπὶ τὴν Ῥητορικήν. Εἴρηται δὲ μικρὸν πρόσθεν, ὅτι καὶ αὕτη περὶ τὸν λόγον καταγίνεται, οὐ μέντοι ἁπλῶς, περὶ δέ γε τὸν πιθανὸν λόγον, καὶ τοῦτον κατὰ διέξοδον. Εἰπὼν γὰρ τὴν Διαλεκτικὴν ὁ Ἀριστοτέλης Ἀντίστροφον τῇ Ῥητορικῇ, οἱονεὶ Ἰσόστροφόν φησιν, ἅτε ἐπίσης ἄμφω περὶ τὸν λόγον καταγινομένα.

Ὥςπερ οὖν ἐν τῇ Γραμματικῇ, ὅσα λέγομεν ἀνάγκη μέρη τινὰ εἶναι λόγου, κἀν τῇ Λογικῇ, ἕκαστον λόγον, ἐπί τι εἶδος συλλογιστικὸν ἀνάγεσθαι, οὕτω κἀν τῇ Ῥητορικῇ, ἀνάγκη τὸν διεξοδικὸν λόγον ἐπὶ τοὺς κανόνας αὐτῆς τῆς Ῥητορικῆς· ὅθεν καὶ λέγοντες, ἤτοι ῥητορικὸν Συλλογισμὸν ποιοῦμεν, ἢ Ὅρον, ἢ Ἀντίληψιν, ἢ Μετάληψιν, ἢ Ἀντίστασιν, ἥτινα ἄλλα τῶν εἰς τὰς Λογικὰς, ἢ Νομικὰς, ἢ Πραγματικὰς στάσεις ἀναγομένων· Καὶ σχηματολογοῦντες δὲ, ἢ Στρογγύλον λέγομεν σχῆμα, ἢ Ἀντίθετον, ἢ Πνεῦμα, ἢ Πάρισον, ἢ Ἐμπερίβολον, ἢ ὅπως ἂν ἄλλως τὰ νοήματα ἡμῶν ἐκφράσωμεν τροπικῶς τε, ἢ μεταφορικῶς, κατὰ τοὺς κανόνας τῆς τέχνης αὐτῆς τοῦτο ποιήσομεν. Ὁ μέντοι καλὸς Λώκκιος ἡγεῖται τὸν Συλλογισμὸν εὐχρηστεῖν μόνον πρὸς ἀνακάλυψιν τῶν ῥητορικῶν σοφισμάτων, κεκαλυμμένων τῇ τῆς καλλιεπείας λαμπρότητι· ὅμως δὲ καὶ τοῦτο, ὡς καὶ τὰ ἄλλα τῶν αὐτοῦ, προῖκα λέγεται τῷ ἀνδρὶ, καὶ ἀναποδείκτως. Τὸ γὰρ βούλεσθαι ἰθύνειν τὰ τῶν ῥητορικῶν τῷ διαλεκτικῷ Συλλογισμῷ ταὐτόν ἐστι τῷ τὰ τῶν ἱματιοῤῥάφων ἰθύνειν τῇ τῶν ὑποδηματοποιῶν στάθμῃ. Ἡ γὰρ Ῥητορικὴ καθάπαξ χωρισθεῖσα τῆς Διαλεκτικῆς, καὶ εἰς ἰδίαν τέχνην προοδοποιηθεῖσα, τὸν κατὰ διέξοδον λόγον καὶ ἐπιχειρηματικῶς, καὶ ἐν ἀποδείξεσιν, ἄλλως ἢ κατὰ τὴν Λογικὴν ἐκανόνισε· καθ' ὃ καὶ ὁ Ῥητορικὸς μᾶλλον ἂν διαιτήσειε τὰ τοῦ Ῥητορικοῦ, ὥσπερ καὶ ὁ Διαλεκτικὸς τὰ Διαλεκτικοῦ, καὶ ὁ Ποιητικὸς τὰ τῆς Ποιήσεως, καὶ ὁ Γεωμετρικὸς τὰ τῆς Γεωμετρίας· Διχῶς γὰρ διαιρουμένου τοῦ κατὰ ῥήτορας λόγου εἰς τὸ Πραγματικὸν, καὶ Λεκτικὸν, τοῦ μὲν Πραγματικοῦ τὸ κυρίως σκοπιμώτατον, ἄν τε Πανη-

γυρικῆς ᾖ ἰδέας ὁ λόγος, κἄντε Δικανικῆς, ἢ Συμβουλευτικῆς, τὸ συμφέρον ἐστί· καίτοι, τὸ Πανηγυρικὸν τὸ Καλὸν φανερῶς προΐεται, καὶ τὸ περὶ τὰς Δίκας, τὸ Δίκαιον, καθὰ καὶ τὸ Συμβουλευτικὸν ἰδίως τὸ Συμφέρον· ὅμως γε τὸ τέλος καὶ τῶν τριῶν ὑπάρχει τὸ Συμφέρον. Οὐ γὰρ ἕνεκά γε ἁπλῶς τοῦ καλοῦ ὁ Περικλῆς ἐπαινεῖ τοὺς ἐν μάχῃ ἀποθανόντας, οὐδ' ὁ Τυρταῖος, λέγων,

Καλὸν ἐν Προμάχοισι πεσόντα.

ἀλλ' ἐπαινεῖ προτρέπων πρὸς ἀγαθὰς πράξεις, αἳ συμφέρουσι τῇ πατρίδι· Ὁμοίως δὲ καὶ τὸ Δικανικὸν, τοῦ μὲν δικαίου φαίνεται καὶ αὐτὸ προϊστάμενον, τῷ δὲ πράγματι τοῦ Συμφέροντος· καὶ οὕτω μὲν ἔχει τὸ Πραγματικὸν αὐτῆς· τὸ δὲ Λεκτικὸν τὴν εὐέπειαν διώκει, ᾗ φησι καὶ Πλάτων, ἐν τῇ Σωκράτους Ἀπολογίᾳ· ἀλλὰ καὶ τέχνην τοῦ εὖ λέγειν τὴν Ῥητορικὴν ὡρίζετο. Ἔνθεντοι ὅ,τε Ἁλικαρνασσεὺς Διονύσιος, καὶ ὁ Ἑρμογένης μετέπειτα, καὶ μετὰ τούτους ὁ Φώτιος, τὸν χαρακτῆρα τοῦ κατὰ Ῥήτορας λόγου, τοῖς κανόσι τῆς αὐτῆς τέχνης ἐστάθμησαν, οὐχὶ τοῖς τῆς Διαλεκτικῆς, ἧς γε, κατὰ τὸν Ἀλκίνουν, τὸ στοιχειωδέστατόν ἐστι, πρῶτον μὲν τὸ τὴν οὐσίαν ἐπιβλέπειν παντὸς ὁτουοῦν, ἔπειτα τὸ περὶ συμβεβηκότων. Εἰ δέ γε καὶ τοῖς τοπικοῖς κέχρηται καὶ αὐτὴ, καὶ ἡ Διαλεκτικὴ, οὐδὲν πρὸς ἔπος· Τὰ γὰρ ἐπιχειρήματα, καίπερ ἐκ τῶν αὐτῶν τόπων λαμβανόμενα, ἄλλως διαμορφοῦται παρὰ τοῖς Ῥήτορι, καὶ ἄλλως παρὰ τοῖς Διαλεκτικοῖς, καθάπερ καὶ ἐκ παντοίας ὕλης ποικίλα σκεύη δημιουργεῖται, οἷον ἐκ πηλοῦ καὶ κέραμος, καὶ στάμνος, καὶ πίθος· καὶ ἐκ χρυσοῦ δακτύλιοί τε πλάττονται, καὶ ψέλλια, καὶ περιδέραια, καὶ ἄλλ' ἅττα ἀγάλματα, παντάπασι τὸ εἶδος ἀνόμοια. Δῆλον δ' ἐντεῦθεν, ὅτι ὁ Λώκκιος οὐκ ἂν ἐλέγξειε διὰ τοῦ διαλεκτικοῦ Συλλογισμοῦ τὰ ῥητορικά· εἰ μὲν ὡς ἐκ τῆς ὕλης, οὐχ οἷόν τε· ἤτοι γὰρ ἐπὶ ἀναγκαίας, ἢ ἐπὶ ἐνδεχομένης· ἀλλ' ἡ Ῥητορικὴ, ἅτε μὴ τὴν οὐσίαν τῶν πραγμάτων ζητοῦσα, οὐκ ἂν εἴη ἐξεταστικὴ τῆς ἀναγκαίας. Ὅπερ καὶ Ἀριστοτέλης, συνιδὼν καὶ εἰπὼν πρῶτον, ἐν τῷ πρώτῳ τῆς Ῥητορικῆς, ὀλίγα εἶναι τῶν ἀναγκαίων, ἐξ ὧν οἱ ῥητορικοὶ

Συλλογισμοὶ, οἷον ἐπιδιορθούμενος ταῦτα, ἐπήγαγε μετ' ὀλίγα τὸ, τὰ δὲ πραττόμενα, πάντα τοιούτου γένους ἐστὶ, καὶ οὐδὲν, ὡς ἔπος εἰπεῖν, ἐξ ἀνάγκης τούτων· Εἰ δὲ κατὰ τὴν ἐνδεχομένην ὕλην, σοφιστικώτερος μᾶλλον ὁ ἔλεγχος γένοιτ' ἂν, ἢ ἀληθέστερος, κἂν περιέληται τὴν εὐέπειαν· Μᾶλλον δὲ ὁ ῥητορικὸς, τὸ ἐνδεχόμενον, οὐκ ἄν ποτε ὀρθῶς, ᾗ ῥήτωρ, παραδέξαιτο. Ἀνάγκη γὰρ λέγειν αὐτὸν, ὅτι τόδε τι γέγονεν, ἢ οὐ γέγονεν, ἢ γεννήσεται. Πῶς γὰρ δύναται λέγειν ὁ μὲν διώκων, ἐνδέχεται τὸν Σωκράτην ἀδικεῖν τὴν πόλιν, μὴ νομίζοντα θεοὺς, οὕσπερ αὕτη νομίζει, ὁ δὲ φεύγων, ὅτι οὐκ ἐνδέχεται, ὅπουγε ἅτερος μὲν διϊσχυρίσεται τὸ ἄδικον εἶναι τὸν Σωκράτην, ὁ δ' ἕτερος τὸ μηδαμῶς ἀδικεῖν αὐτὸν. Ἄλλως δὲ οὐδὲ ῥήτορά τινα ἴσμεν ἐξελέγξαντα συλλογιστικῶς τὸν ἀντίδικον· καὶ ἀνεμώλια τὰ τοῦ Λωκκίου.

Παραθήσομαι δ' ἐνταῦθα περὶ τῆς διαφορᾶς τῶν ῥητορικῶν καὶ λογικῶν, ἅπερ ἐν ἀντιγράφῳ ἀνέγνων, ὡς ἐν τοῖς ἐμοῖς καταλόγοις τῶν ἀνατολικῶν βιβλιοθηκῶν φέρεται, τέως μὴ ἐκδεδομένοις· ὁ γὰρ ἀνώνυμος ὑπομνηματιστὴς οὗτος τοῦ Ἀριστοτελικοῦ ὀργάνου τάδε φησίν.

« Οἷς δὲ μάλιστα διαφέρει Λογικὴ καὶ Ῥητορικὴ, τρία ταῦτά
« ἐστι· πρῶτον ὁ τρόπος τῆς ἐνεργείας, δεύτερον ἡ ὕλη, τρίτον
« τὸ τέλος. Κατὰ μὲν οὖν τὸν τρόπον τῆς ἐνεργείας διαφέρουσιν,
« ὅτι ἡ Ῥητορικὴ κέχρηται Συλλογισμῷ πιθανῷ· ἡ δὲ Λογικὴ
« οὐ κέχρηται, ἀλλ' ἐργάζεται Συλλογισμόν. Κατὰ δὲ τὴν ὕλην
« διαφέρουσιν, ὅτι ἡ Ῥητορικὴ καταγίνεται κυρίως περὶ τὰς πο-
« λιτικὰς ζητήσεις (1). Ὅθεν καὶ τῆς πρακτικῆς σοφίας ὄργανον
« γίνεται· Κέχρηται γὰρ ταύτῃ ὁ πολιτικὸς εἰς διεξαγωγὴν τῆς

(1) Ἐντεῦθεν καὶ οἱ ῥήτορες τοῦ πολιτικοῦ ὀνόματος ἀντεποιοῦντο, ᾗ φησὶν Ἀριστοτέλης ἐν τῷ α' τῆς Ῥητορικῆς.

« πολιτείας, ἐφ' ἣν καὶ ἡ Ποιητικὴ ἀναφέρεται (1). Ἡ δὲ Λογική, « ὕλην μὲν οὐδεμίαν ἔσχηκεν ὡρισμένην, ἀλλ' ἁπλῶς, ὡς ἔφη-« μεν, τὰς σημαντικὰς τῶν ὄντων φωνὰς ὕλην ποιεῖται. Κατὰ « δὲ τὸ τέλος, ὅτι ἡ Ῥητορικὴ τέλος ποιεῖται τὸ πεῖσαι τοὺς « ἀκροωμένους, ἢ γοῦν τὸ πιθανῶς εἰπεῖν· τὸ δὲ τέλος τῆς « Λογικῆς ὄργανα παραδοῦναι τῇ φιλοσοφίᾳ εἰς διάγνωσιν ἀλη-« θείας καὶ ψεύδους. Ὅθεν καὶ τῆς θεωρητικῆς φιλοσοφίας ὄρ-« γανον ἐπιγράφεται, καὶ προτάττεται τῶν βιβλίων τῆς θεωρη-« τικῆς πραγματείας τοῦ φιλοσόφου, ὥσπερ καὶ ἡ Ῥητορικὴ καὶ « ἡ Ποιητικὴ τοῖς πολιτικοῖς βιβλίοις συντάττονται.

Καὶ ἀλλαχοῦ δὲ ὁ αὐτὸς τὰ ἐφεξῆς λέγει.

« Ἰστέον ὅτι ἡ Ῥητορικὴ σύγκειται, ἐκ τῆς τοπικῆς καὶ τῆς περὶ « τὰ ἤθη πραγματείας, καὶ ἔστιν ὄργανον, τῆς πρακτικῆς φιλο-« σοφίας, ὡς ἡ Λογικὴ τῆς θεωρητικῆς· θεωρίας γὰρ τέλος, ἡ « γνῶσις τῆς ἀληθείας, τῆς δὲ πράξεως ἡ εὐζωΐα τῶν ὑπηκόων, « πρὸς οὓς τῇ Ῥητορικῇ κέχρηται ὁ πρακτικὸς φιλόσοφος (2).

(1) Καὶ γὰρ πᾶσαι αἱ ποιήσεις, ἥ τε Κωμῳδία, ὡς Ἀριστοφάνης, ἥ τε τραγῳδία, ὡς Εὐριπίδης, καὶ ἡ ῥαψῳδία, ὡς Ὅμηρος, καὶ ἄλλαι, πρὸς διακόσμησιν ἠθῶν ἐφεύρηνται· ὁ γὰρ Ἀριστοφάνης κωμῳδῶν φιλάργυρον, ἢ μοιχὸν, ἢ κλέπτην, ἐπεσημαίνετο Ἀθηναίοις ἀπέχεσθαι τῶν τοιούτων παθῶν. Καὶ Ὅμηρος δὲ διηγούμενος ἀριστείας μὲν καὶ ἀνδραγαθίας τῶν γενναίων ἀνδρῶν, δειλίαν δὲ καὶ ἀγένειαν τῶν δειλῶν, προὐτρέπετο τοὺς ἀκροωμένους εἰς ἀρετήν·

Καὶ ὀρθῶς ὁ ἐκ Καισαρείας Βασίλειος ἐν τῷ πρὸς τοὺς νέους παραινετικῷ λόγῳ λέγει·

« Ὡς δ' ἐγώ τινος ἤκουσα δεινοῦ καταμαθεῖν
« ἀνδρὸς ποιητοῦ διάνοιαν, πᾶσα ἡ ποίησις
« τοῦ Ὁμήρου ἀρετῆς ἔπαινός ἐστι·

καὶ Εὐριπίδης ἐτραγῴδει τὰ τῆς Ἑκάβης ἀτυχήματα, οὐκ ἐπ' ἄλλῳ τῳ, ἢ ἵνα οἱ ἀκούοντες μὴ ἐπαίρωνται, μηδὲ καυχῶνται πλούτῳ καὶ εὐτυχίᾳ, τάχιστα οἰχομέναις καὶ ἀφιπταμέναις δίκην ἐαρινοῦ ἄνθους.

(2) Τοῦτο δὲ κοινὸν ἂν εἴη πάντων τῶν διδακτῶν· ἅπαντα γὰρ πρὸς ἕτερον ἀναφέρεται, καὶ οὐ πρὸς τὸν διδάσκοντα.

« Διαφέρουσι δὲ, ὅτι ἡ Λογικὴ καὶ ἀναγκαίως συλλογίζεται καὶ « πιθανῶς ἐπὶ τῶν πραγμάτων κατὰ τὸν ἐν γένει Συλλογι- « σμὸν (1), ἰδίως δὲ μόνον καὶ ἀναγκαίως (2). Ἡ δὲ Ῥητορικὴ « τοῦ πιθανοῦ μόνον (3) γίνεται στοχαστικὴ, καὶ ἐφ' ὅσον εἰς « πολιτικὸν ζήτημα ἀναφέρεται (4) »

Ὁ δέ γε Ἀριστοτέλης ἐν τῷ πρώτῳ τῆς Ῥητορικῆς τὰ ὑποκείμενα ἐν ἀμφοῖν ἔφη μὴ ὁμοίως ἔχειν, ἀμφοτέρας δὲ τήν τε Διαλεκτικὴν καὶ τὴν Ῥητορικὴν ἀόριστον ἔχειν τὴν ζήτησιν, καὶ τἀναντία συλλογίζεσθαι· Εἰ γὰρ κατὰ τὰ ὑποκείμενα μὴ ὁμοίως ἔχουσιν, οὐ δὲ τὸ τἀναντία συλλογίζεσθαι ὅμοιον αὐταῖς ἔσται.

Ἀλλὰ ταῦτα μὲν ἱκανὰ πρὸς ἀπόδειξιν τοῦ, ὅτι μετὰ τὴν τῆς φιλοσοφίας εἰς τὴν δυτικὴν εὐρώπην ἄφιξιν διὰ τὸ μὴ ὑπάρξαι τοὺς διὰ ζώσης φωνῆς διδάξαντας τήν τε Διαλεκτικὴν, καὶ μάλιστα τὴν Ῥητορικὴν, τὰ δύο κάλλιστα τῶν μαθημάτων, καὶ λογικῷ ἀνθρώπῳ πρέποντα, ἡ μὲν Λογικὴ οὐ τοσοῦτον ἐξηκρίβωται, καίτοι οὐκ ὀλίγων Λογικὰς ξυγγραψάντων πραγματείας. Ἡ δὲ Ῥητορικὴ καὶ παντάπασιν ἐν ἀγνοίᾳ διαμεμένηκεν· ὅθεν καὶ νέους τινὰς σοφοὺς παρασυνέβη διακωμῳδεῖν αὐτὰς κατὰ τὸ,

Οὗτινος τὴν γνῶσιν ἀφήρηται, τούτου
Κατηγορεῖ τις προχειρότατα.

Καὶ λυπηρὸν δήπου τὸ ἀπόλλυσθαι τὰ τοιαῦτα μαθήματα, δι' ὧν καὶ μόνων οἱ παλαιοὶ ἕλληνες, καὶ οἱ μετὰ τούτους χριστιανίσαντες τοσαῦτα ἡμῖν ξυγγράμματα κατέλιπον. Ποῦ γὰρ αἱ καθ' ἡμᾶς γνώσεις ἐν ἐκείνοις τοῖς καιροῖς; Καὶ ὅμως, ἡ Διαλεκτικὴ καὶ ἡ Ῥητορικὴ

(1) Δηλονότι, τὸν ἐν τοῖς Προτέροις τῶν ἀναλυτικῶν.

(2) Κατὰ τὰ ἐν τοῖς Ὑστέροις τῶν ἀναλυτικῶν.

(3) Ἔστω δ' ἡ Ῥητορικὴ, δύναμις περὶ ἕκαστον τοῦ θεωρῆσαι τὸ ἐνδεχόμενον πιθανόν· Ἀριστοτ. ἐν τῷ α' τῆς Ῥητορικῆς.

(4) Ἡ γὰρ Ῥητορικὴ πιθανῶς περί τε τὰ ἤθη καὶ τὰς πράξεις τῶν πολιτευομένων καταγίνεται.

ἀθανασίαν αὐτοῖς περιῆψεν. Ἀρκείτω πρὸς παράδειγμα, τόγε νῦν ἔχον, ὁ Λουκιανὸς, ὅς γε δυνάμει τῶν δύω τούτων μαθημάτων ξυνέγραψεν, ὅσα διασωθέντα τῷ χρόνῳ, ἡμεῖς θαυμάζομεν ἀναγινώσκοντες.

Ἀλλὰ γὰρ, εἰ καὶ μετὰ Ἀθανάσιον τὸν πάριον, ἡ διδασκαλία τῶν μαθημάτων τούτων, συνῴχετο, καὶ οὐδεὶς ὁ διδάσκων ταῦτα κατάγε τοὺς παλαιοὺς, καὶ μάλιστα τὴν Ῥητορικὴν, τὸ λαμπρότατον καὶ πολιτικώτατον μάθημα, εὔελπις μέντ' εἰμὶ, ἐξ οὗ ὁ σοφὸς Γιζώτης, ὁ νῦν μὲν ἐπὶ τῶν Ἐξωτερικῶν, πρῴην δ' ἐπὶ τῆς Δημοσίου διδασκαλίας, ὁρμὴν ἐνέϐαλε τῇ πρὸς βελτίω διδασκαλίαν προόδῳ, καὶ οὗ τὴν προαίρεσιν ἐζήλωκεν, ὁ νῦν ὑπουργὸς Βιλλεμαίνης, ἄλλως τε καὶ αὐτὸς οἴκοθεν φιλομαθὴς ὢν καὶ φιλότιμος, εὔελπίς εἰμι, λέγω, ἁπάντων τῶν μαθημάτων οὕτω προοδευόντων ἐν Γαλλίᾳ, καὶ τῶν Ἀκαδημιακῶν συναγωνιζομένων πρὸς τελειότητα τῶν ἀνθρωπίνων γνώσεων, ἀναγεννήσεσθαι κατὰ τὴν Γαλλίαν τὴν τέχνην τῆς τῶν παλαιῶν ῥητορείας, καὶ διαδοθῆναι καὶ εἰς τὰ ἄλλα ἔθνη τὰ ἐν Εὐρώπῃ εὐνομούμενα. Καὶ οὐκ ἂν ἔπειτα τῶν κοινῶν λεγομένων τόπων οἱ νεώτεροι κατειρωνεύσαιντο. Γνώσονται δ' οὐχ ἧττον καὶ οἱ ὑπὸ Λωκκίου παρακρουσθέντες, μὴ ἄχρηστον εἶναι καὶ τὸν διαλεκτικὸν Συλλογισμὸν πρὸς ζήτησιν τῆς ἀληθείας.

Τὴν δέ γε Διαλεκτικὴν τῶν μετ' Ἀριστοτέλη φιλοσοφησάντων τινὲς, μέρος τῆς Λογικῆς οἴονται· ὁρίζονται δὲ τὴν Λογικὴν,

« Διδασκαλίαν, ἧς τινος τὸ προσῆκον τὰς τῆς διανοίας
« ἐνεργείας τε καὶ πράξεις διοικεῖν, καὶ πρὸς τ' ἀληθὲς
« ἀπευθύνειν.

Δηλοῦν δὲ καὶ ὑποτυποῦν φασι τὸ μὲν τῆς Λογικῆς ὄνομα,

« Τὴν κατὰ λόγον καὶ νόησιν διδασκαλίαν· πρὸς
« αὐτῆς γὰρ τὸ τὸν ἐνδιάθετον ἐκμορφῶσαι λόγον,
« καὶ τὴν διάνοιαν παιδεῦσαι.

Τὸ δὲ τῆς Διαλεκτικῆς

« Ἀποδεικνύειν τὴν Συλλογιστικὴν ἐπιστήμην. ταύ-

« της γὰρ εἶναι τὸ διδάσκειν τοὺς τρόπους τοῦ
« Διαλέγεσθαι. Ταὐτὸν δὲ τὸ διαλέγεσθαι καὶ συλλογίζεσθαι.

Δοκοῦσι δέ μοι οἱ τὴν μὲν λογικὴν ὅλον θεωροῦντες, τὴν δὲ διαλεκτικὴν μέρος, ἐκ τῶν τοῦ Ἀριστοτέλους λαβεῖν τὸ ἐνδόσιμον, διελόντες ταῦτα εἰς δύο μέρη, καθ' ἃ καὶ τὴν Λογικὴν αὐτὴν διεῖλον εἰς δύο· ὧν τὸ μέν ἐστι κοινὸν, τὸ δὲ ἴδιον· καὶ κοινὸν μὲν, τὸ περιέχον τὸν ἐν γένει Συλλογισμὸν, καὶ τὰ πρὸς αὐτὸν συντείνοντα. Εἰρῆσθαι δὲ κοινὸν, ἅτε πραγματευόμενον τὸν ἐν γένει καὶ καθόλου Συλλογισμόν. Ἀπαρτίζεται δὲ τὸ μέρος τοῦτο ἔκ τε τοῦ περὶ Κατηγοριῶν καὶ τοῦ περὶ Ἑρμηνείας, καὶ τῶν Προτέρων Ἀναλυτικῶν, ἅπερ ἅπαντα μέρη εἰσὶ τοῦ ἐν γένει Συλλογισμοῦ. Ἴδιον δὲ, τὸ τὰ εἴδη τοῦ Συλλογισμοῦ περιέχον, ἤτοι τὴν Ἀπόδειξιν, περὶ ἧς διαλαμβάνεται ἐν τοῖς Ὑστέροις τῶν Ἀναλυτικῶν· τὸν Ἔνδοξον καὶ Πιθανὸν Συλλογισμὸν, τὸν ἐν τοῖς Τοπικοῖς· καὶ τὸν Σοφιστικὸν καὶ Ἀδύνατον, τὸ ἐν τοῖς σοφιστικοῖς Ἐλέγχοις. Ὥστε τὴν Διαλεκτικὴν συνίστασθαι ἐκ τῶν Ὑστέρων Ἀναλυτικῶν, ἔκ τε τῶν Τοπικῶν, καὶ τῶν Σοφιστικῶν ἐλέγχων. Ἐντεῦθεν καὶ τὴν Διαλεκτικὴν ὡρίζοντο ὧδε.

Διαλεκτική ἐστι μέθοδος, περὶ παντὸς τοῦ προτεθέντος προβλήματος συλλογιζομένη ἐκ τῶν Ἐνδόξων·

Ὁ δὲ ὁρισμὸς οὗτος οὐ παντάπασι πόῤῥω βάλλει τοῦ παρ' Ἀλκινόῳ (1).

« Ἡ διαλεκτικὴ μέθοδος ἀπὸ τῶν γεωμετρικῶν ὑποθέ-
« σεων ἐπὶ τὰ πρῶτα, καὶ ἀρχικὰ, καὶ ἀνυπόθετα
« ἀνιέναι πέφυκε.

Τοῦτο δὲ βούλεται λέγειν, τὸ περὶ παντὸς προσβλήματος συλλογίζεσθαι· Ὅτι δὲ ἐκ τῶν ἐνδόξων συλλογίζεται ἡ Διαλεκτικὴ καὶ Ἀριστοτέλης αὐτός φησιν ἐν τοῖς Τοπικοῖς, ἀλλὰ κἀν τῷ περὶ Ἑρμηνείας λέγων·

(1) Ἀλκίν. ἐν τῷ περὶ Πλάτων. δογμάτων, κεφ. Ζ´.

« Διαλεκτικὴ δὲ πρότασις, πυνθανομένῳ μὲν, ἐρώτησις ἀντι-
« φάσεως· συλλογιζομένῳ δὲ, λῆψις τοῦ φαινομένου καὶ Ἐν-
« δόξου.

Ὁ δέ γε Πλάτων τὴν Διαλεκτικὴν, ἐπιστήμην καλεῖ· ὁ δὲ Ἀριστοτέλης καὶ φιλοσοφίαν ἐν τῇ Ῥητορικῇ προσεῖπεν, ἐξ οὗ καὶ οἱ νεώτεροι τῶν Ἑλλήνων ὁρισμοὺς τῆς φιλοσοφίας προτάττουσιν ἐν ταῖς Λογικαῖς.

Τὸ δ' ὄνομα τῆς Λογικῆς οὔτε παρὰ Πλάτωνι, οὔτε παρ' Ἀριστοτέλει κεῖται, τῶν μετ' αὐτοὺς οὕτω καλεσάντων, ἅτε συνισταμένην ἐν λόγοις· ὡς ἀνωτέρω εἴρηται· Φαίνεται δὲ Χρύσιππος χρησάμενος τῷ ὀνόματι, ἐν ταῖς αὐτοῦ Πραγματείαις, ὧν μέμνηται ὁ Λαέρτιος ἐν βίῳ Χρυσίππῳ. Λέγει γὰρ καί τινα τούτων καλουμένην, Λογικά· ἑτέρας δὲ, Λογικοῦ τόπου, ἄλλας δὲ, Λογικὰ συνημμένα· καὶ ἄλλα τινὰ ὁμοιόκλητα. Ὁ δὲ Γαληνὸς πολὺν χρόνον μετ' Ἀριστοτέλην γεγονὼς τῷ τῆς λογικῆς ἐχρήσατ' ὀνόματι, ὡς κατωτέρω φανήσεται. Δοκοῦσι δέ μοι οἱ νεώτεροι οὕτως αὐτὴν καλέσαι, τάχα μὲν ὅτι τὸν λόγον ὑποκείμενον ἔχει, τάχα δ' ὅτι καὶ λόγον ζητεῖ τῶν οὕτως ἢ ἄλλως λεγομένων ἐν τῷ ἐρωτᾷν καὶ ἀποκρίνασθαι. Τὸ δὲ ζητεῖν τὸν λόγον, τοῦτ' ἐστὶ τὸ διότι, τὸ τῆς φιλοσοφίας σκοπιμώτατον. Φιλοσοφίας γὰρ τὸ ζητεῖν τὸν ἀποχρῶντα λόγον, ἢ τὸ διότι ἐν ἅπασι. Τὸ γὰρ γινώσκειν ἢ μανθάνειν τι ἄνευ τοῦ διότι, ἄλογον τὸ γινωσκόμενον καὶ μανθανόμενον. Ἀλλ' οὐδὲ γνῶσιν φαίη τις ἂν τὴν τοιάνδε γνῶσιν ἢ μάθησιν. Τάχα δὲ καὶ λογικὸν ζῷον εἴρηται ὁ ἄνθρωπος, οὐ τοσοῦτον ὅτι λόγῳ κέχρηται, ἀλλ' ὅτι καὶ λόγον ζητεῖ, καὶ δίδωσι τῶν πραγμάτων. Καὶ κατάγε τοῦτο τῶν ἄλλων ζῴων μάλιστα διενήνοχεν. Ἐκείνοις γὰρ αἱ ἄναρθροι φωναὶ, αἵ τε ᾠδαὶ, καὶ βοαὶ, καὶ συριγμοὶ, δίκην λόγου συντελοῦσι, πρὸς τὸν πρὸς ἄλληλα συναγελασμόν. Λόγον δὲ ζητεῖν τῶν ὑπ' αὐτῶν πραττομένων, τῆς φύσεως αὐτῶν ἀποπέφυκε. Διὸ καὶ ἄλογα εἰκότως ἐκλήθησαν. Φύσεως δ' ἀνθρωπίνης τὸ διότι ζητεῖν. Εἰ δέ γ' ἐν τοῖς πρώτοις καιροῖς ἠγνόει τοῦτο, ὅσον γ' ἐφικτὸν αὐτῷ, οὐ θαυμαστόν· δυσθήρατον γὰρ τἀληθὲς, καὶ οὐκ ὀλιγοχρονίου εὑρέσεως· ὅθεν καὶ τὸ

ὅτι, διότι ὑπελάμβανον οἱ πάλαι. Δεῖται δὲ μάλιστα ἡ ζήτησις αὕτη νοὸς ἡσύχου καὶ μὴ ἀνθελκομένου ταῖς χρείαις καὶ περιστάσεσιν, ἢ προλήψεσι, καὶ δεισιδαιμονίαις· ἅπερ ἅπαντα συνεῖχον τοὺς πάλαι ἐν ἀγνοίᾳ λόγου τοῦ δέοντος, ᾗ φησιν Ἡράκλειτος, ἀλλ' οὐχ ὅτι τούτου εἰσὶν ἀξύνετοι, ἀλλ' ὅτι τὸ αὐτοῖς ξυνιέναι, ὑφ' ὧν ἔφην ὑπῆρχεν ἐπιπροσθούμενον. Ὅπερ καὶ παρὰ τοῖς καθ' ἡμᾶς ἀπαιδεύτοις ἔθνεσιν ἔξεστιν ἰδεῖν· ἄγονται γὰρ καὶ φέρονται ταῖς βιωτικαῖς μερίμναις, καὶ ταῖς προλήψεσι, καὶ δεισιδαιμονίαις οἱ ἀδύνατοι, οἱ δὲ δυνάμενοι πρὸς ταῖς προλήψεσι, καὶ ταῖς ἐπιθυμίαις καὶ πάθεσι· καὶ οὐ δύνανται φροντίζειν τῆς βελτιώσεως τῆς κατ' αὐτοὺς λογικῆς δυνάμεως, καὶ τοὺς ἄλλους δὲ κωλύουσι τοῦτο ποιεῖν, κακὸν παράδειγμα γιγνόμενοι, καὶ ἐπιβοῶντες ἐσθ' ὅτε τὸ,

Τοῦτο τὸ ἄρα παραπέμψει ὑμᾶς τῇ αἰωνίῳ ἀρᾷ·

ὅπερ οἱ πρῶτοι τῶν χριστιανῶν ἐπεβόουν οὐ πρὸς τοὺς συλλογιστικῶς ζητοῦντες τ' ἀληθὲς, ἀλλὰ πρὸς τοὺς σοφιστικῶς τὰ ψευδῆ συμπεραίνοντας· Ὁ γὰρ χορὸς τῶν χριστιανῶν φιλοσόφων, καὶ ῥητορικώτατος ὑπῆρξε καὶ διαλεκτικώτατος· Τίς γὰρ οὐκ ἂν θαυμάσειεν, ἵνα τοὺς ἄλλους παρῶ, τὸν δαιμόνιον ἐκεῖνον Ὠριγένην, ἀναγινώσκων τοὺς κατὰ Κέλσου τόμους (1), ἔνθα διαλεκτικώτατος ὁ ἀνὴρ καταφαίνεται; Ὁ δ' ἐκ Δαμασκοῦ Ἰωάννης, καὶ Λογικὴν συνοπτικὴν συνετάξατο· ὥσπερ γε καὶ ὁ πολὺς Φώτιος τὸ περὶ κατηγοριῶν ἐγχειρίδιον. Συνεργὸν δὲ τὴν ἐπιστήμην παρελάμβανον ἀναιροῦντες τὰς πλεκτάνας τῶν σοφισμάτων.

Χρήσιμος μέντοι γε ἡ ἐπιστήμη τῆς Διαλεκτικῆς οὐ μόνον πρὸς ζήτησιν τῆς ἀληθείας, καὶ τοῦ ψεύδους ἀνακάλυψιν, ὡς κἂν τοῖς Διαλόγοις τοῦ Πλάτωνος φαίνεται, ἀλλὰ καὶ πρὸς διάθεσιν, καὶ τάξιν,

(1) Οἱ εἰς ἡμᾶς διασωθέντες κατὰ Κέλσου τόμοι εἰσὶν ὀκτὼ τὸν Ἀριθμόν· εὗρον δ' ἔν τινι λαμπρῷ Ἀντιγράφῳ, οὗ τὰ μὲν τῆς ἀρχῆς ἀπώλετο, οἶμαι δ' ἐκλογὰς εἶναι τῶν Ὠριγενείων, τὸν ἀριθμὸν τῶν τόμων τούτων ἄχρι τῶν ἑπτακαίδεκα.

καὶ ἀλληλουχίαν τῶν ἐννοιῶν τε καὶ νοημάτων, καθὰ καὶ προείρηται, ἀπολογουμένοις ἡμῖν πρὸς τοὺς ταύτην δι' ἄγνοιαν ἐκφαυλίζοντας. Δέδεικται δ' ἔτι, ὡς οὐδὲ τὰ τῶν πάλαι ὑπῆρξεν ἀσυλλόγιστα, καὶ ἀκανόνιστα· ἀλλ' ἄδηλον ἡμῖν, ἀδυνάτου γε ὄντος ἐςδῦναι ἐς τὰ ἄδυτα τοῦ πολλοῦ χρόνου, τίς πρῶτος κανονιστὴς γένοιτο· Ἐχρῶντο γὰρ κἀκεῖνοι τοῖς ἀπὸ τῆσδε τῆς ἐπιστήμης, ἀγνοοῦντες αὐτὴν, καθὰ καὶ Ἀριστοτέλης εἴρηκε. Δέδεικται δὲ καὶ ὅτι μὴ προοδοπεποιημένης τῆς τέχνης, τὰ πρῶτα μὲν διὰ παραδόσεως ζώσῃ φωνῇ καὶ ἀγράφως οἱ κανόνες ἐδιδάσκοντο, εἶτα δὲ καὶ ἐγγράφως. Ἐπέστησαν δὲ καὶ τῷ διότι, ὅτε φιλοσοφεῖν ἤρξαντο, ὅ ἐστι τἀληθὲς ζητεῖν· Διὸ καὶ ἡ ἀκολουθία τῶν πραγμάτων ἀναγκάζει, τοῖς πρῶτον ἀρξαμένοις φιλοσοφεῖν ἀπονέμειν τὴν εὕρεσιν κανόνων τινῶν, τῶν λογικῶν εἰρημένων τεχνῶν, καὶ μάλιστα τῆς Διαλεκτικῆς, αὐτίκα τῆς Γεωμετρικῆς καὶ Ἀριθμητικῆς γνώσεως εἰσαχθείσης. Κεχρῆσθαι δὲ τούτοις τοὺς πρὸς Ἀριστοτέλους φύρδην καὶ συγκεχυμένως, καὶ ἀτελέσιν οὖσιν, οἷά περ ἀεὶ συμβαίνει τοῖς εὑρήμασι. Τῷ χρόνῳ γὰρ τὰ τοιάδε καὶ πλατύνεσθαι καὶ τελειοποιεῖσθαι πέφυκε τῇ προσευρέσει, καὶ βελτιοῦσθαι πρὸς τὸ ἀληθέστερον. Εἰκὸς μὲν γὰρ ὃ καὶ Ἀριστοτέλης φησὶ παρὰ Κικέρωνι ἐν τῷ Βρούτῳ, Πρωταγόραν πρῶτον ἐνασχοληθῆναι περὶ γενικά τινα ζητήματα, ἅπερ οἱ μετέπειτα Κοινοὺς Τόπους ἐκάλεσαν, ὡς καὶ τὸν Γοργίαν ἔπειτα, κατὰ ζῆλον τὸν ἐκείνου, τινὰ Γυμνάσματα συντάξασθαι περὶ Ἐπαίνου καὶ Ψόγου. Καὶ ἄλλους δέ τινας Διαιρετικήν τινα μέθοδον ἐξευρηκέναι, ὡς ὄργανον συλλογιστικὸν, καὶ τὸν Ζήνωνα προςθεῖναί τινα· τὸν δὲ Πλάτωνα ἀτενέστερον ἐπιστήσαντα, κατά τι μὲν ἐπιστήμην τὴν Διαλεκτικὴν, κατά τι δὲ τέχνην κατανοῆσαι. Οἱ γὰρ πρὸ αὐτοῦ φιλοσοφήσαντες ἀποδείξεσι μὲν ἐχρῶντο, ὡς ἔφην, ἀλλ' οὐκ ᾔδεσαν τὸν τρόπον τῆς τούτων συνθέσεως, οὔτε διακεκριμένως τις ταύτην ἢ τέχνην ἢ ἐπιστήμην κατενόησεν. Ὁ δὲ Ἀριστοτέλης μετ' αὐτὸν, ταῖς ἐκείνου περὶ αὐτῆς ἑρμηνείαις βοηθούμενος, καὶ Πλάτωνος καὶ τῶν ἄλλων προγενεστέρων βέλτιον περὶ ταύτης διέγνωκε, καὶ τὴν κορωνίδα ἐπέθηκεν, ἐς

τέλειον ἐξακριβωσάμενος, καὶ ἐπιστήμην ἀσφαλῆ τοῖς μεταγενεστέροις παρέδωκε. Τάχα δὲ καὶ ὁ Χρύσιππος καὶ οἱ λοιποὶ Στωϊκοὶ, ὥσπερ ὁ Γαληνὸς τὸ τέταρτον συλλογιστικὸν σχῆμα, περὶ οὗ αὐτίκα εἰρήσεται, οὕτω κἀκεῖνοι ἕτερά τινα προσέθηκαν τοῖς ὑπ' Ἀριστοτέλους ἐξευρημένοις, τῶν δὲ Συγγραμμάτων αὐτῶν ἀπολωλότων, οὐδὲν ἐς ἡμᾶς διεσώθη.

Οἶδα δ' ὅτι οἱ νεώτεροι Πλατωνικοί τε καὶ Περιπατητικοὶ, καὶ Στωϊκοὶ πολλὰ διηνέχθησαν, περὶ τῆς Διαλεκτικῆς πραγματείας, εἴπερ ὄργανον εἴη τῆς φιλοσοφίας, ἢ μέρος, ἢ ἀμφότερον· ἀλλ' ἐν ἄλλοις περὶ τούτου εἰρήσεται· νῦν δ' ὥρα καὶ περὶ τῆς Διαλεκτικῆς τοῦ Γαληνοῦ τι διαλαβεῖν.

ΠΕΡΙ ΤΗΣ ΔΙΑΛΕΚΤΙΚΗΣ ΤΟΥ ΓΑΛΗΝΟΥ.

Τὸ τῆς Διαλεκτικῆς εἰσαγωγῆς τοῦ Γαληνοῦ, ἣ καὶ τύποις ἐκδίδοται, ἀντίγραφον, τὸ μετά τινων ἄλλων, κατὰ τὴν ἐμὴν ἀποστολὴν εὑρεθέν τε καὶ μεταγραφὲν, ἡμίσαθρον ὑπῆρχε, καὶ σεσηπὸς τὰ λεγόμενα περιθεώρια, ὡς καὶ πολλὰ τῶν γραμμάτων καὶ λέξεων εἶναι ἐξίτηλα· μάλιστα δὲ τοῦ κατ' ἀρχὰς φύλλου τὸ ἥμισυ διέῤῥηκτο. Καὶ νὴ Δία γε καὶ παντελῶς ἐξηφάνιστ' ἂν, ἐν βάθει πύργου τινὸς κατεῤῥιμμένον, εἰ μὴ κατέβην ἀνιμησόμενος. Δι' ἅπερ ἐδέησε τινὰς μὲν τῶν λέξεων ἢ γραμμάτων ἀντικαταστῆσαι, τά τ' ἐλλείποντα ἀναπληρῶσαι, καὶ τὰ παρεωραμένα ἀσκεψίᾳ τοῦ μεταγράψαντος, καίτοι μὴ παντελῶς ἀμαθοῦς τετυχηκότος, διορθώσασθαι. Ἐγέγραπτο δὲ, ὡς ἐκ τῶν χαρακτήρων τεκμήρασθαι, κατὰ αἰῶνα τὸν ἑνδέκατον. Καὶ ἥσθην μὲν τότ' ἐπὶ τῷ εὑρήματι, τὸ δ' ἐξ αὐτοῦ λυσιτελὲς οὐ κατενόησα, πρὶν ἢ τὴν βίβλον μεταγραφῆναι. Κατιδὼν δ' ἔπειτα, καὶ τὰ περὶ τὴν ἔκδοσιν διανοούμενον, παρεθαῤῥυνέτην με τὼ καθ' ἡμᾶς σοφὼ ἀκαδημαϊκὼ Λετρόννης τε Βοασσωνάδης,

Ἄμφω ὁμῶς σοφίῃ γεραρὼ, ἠὲ φρεσσὶ πυκινώ·

ἐξ οὗ καὶ κλεϊζομένω ἀνὰ πᾶσαν τὴν Εὐρώπην, οὐ μικρὸν ἔπαινον

φέρετον τῇ Γαλλίᾳ ἐπὶ μαθήσει τῇ τε ἄλλῃ, καὶ τῇ καθ' Ἕλληνας τοὺς πάλαι σοφίᾳ τε καὶ γλώττῃ.

Προὐτρεψάτην μέ φημι τὼ ἄνδρε, ἵνα ἐν τῇ μικρᾷ κατὰ τὸ Παρίσιον νῦν μοι διατριβῇ (ἐντέταλτο γάρ μοι καὶ δευτέρα ἀποστολὴ ὑπὸ τοῦ σοφοῦ ὑπουργοῦ Βιλλεμαίνει) δημοσιεύσαιμι τὴν Διαλεκτικὴν ταύτην εἰσαγωγὴν, πραγματείαν μήπω ἐγνωσμένην· οὐ δ' ἀξυντελῆ ταύτην ἔσεσθαι πρὸς τὴν φιλοσοφίαν, μηδεμίαν ἄλλην πλὴν τῶν Ἀριστοτελικῶν, Διαλεκτικὴν πραγματείαν ἔχουσαν τῶν παλαιῶν Ἑλλήνων. Καὶ περίεργον μάλιστα οὖσαν διὰ τὸ τέτταρτον σχῆμα τοῦ Συλλογισμοῦ, λεγόμενον μὲν, ἄχρι τοῦδε, τοῦ Γαληνοῦ, μὴ ἀποδεικνύμενον δὲ ἐκ τῶν τοῦ Γαληνοῦ σωζομένων. Μάλιστα δ' ὁ σοφὸς Λετρόννης παρηγγυᾶτο ἑλληνιστί με ξυγγράψαι, τάς τε προθεωρίας καὶ τὰς παρεκβολάς· [οἴεται δὲ μὴ κακῶς γράφειν με ἑλληνίζοντα. Εἰ δὲ τῇ πρὸς ἐμὲ εὐνοίᾳ, ἢ κατ' ἀλήθειαν τοῦτο περὶ ἐμοῦ ὑπείληφεν ὁ σοφὸς ἀνὴρ, κρινόντων οἱ κατὰ τὴν Εὐρώπην ἑλληνίζοντες.] Τὴν γὰρ ἑλληνικὴν γλῶτταν καλῶς ἤδη γινώσκεσθαι, οὐ μόνον ἐν τῇ καθ' ἡμᾶς Γαλλίᾳ, ἀλλὰ κἂν τῇ Γερμανίᾳ, καὶ Ἀγγλίᾳ πλείστους εἶναι τοὺς ἑλληνίζοντας· μηδὲ περὶ μετάφρασίν τινά με ἀσχοληθῆναι διὰ τὸ κατεπεῖγον τῆς ἀποδημίας.

Τούτοις οὖν καλῶς ἔχουσι πεισθεὶς, διωρθωσάμην τὴν βίβλον πολλάκις ἐπιστήσας καὶ ἐπαναγνούς· καὶ ἀναπληρώσας μὲν τὰ ἐλλείποντα, ὡς ἐμοὶ ἐδόκει εὖ ἔχειν τῆς τοῦ Γαληνοῦ ἐννοίας, κρῖναι δὲ πάλιν ταῦτα τῷ σοφῷ Βοασσωνάδει ἐπιτρέψας. «Δειναὶ γὰρ αἱ εὔνοιαι δεκάσαι τὰς ψήφους» φησὶν ὁ ἐκ Κυρήνης Συνέσιος, τό, τε φίλαυτον ἔμφυτον· ὁ δὲ Ἀκαδημαϊκὸς Βοασσωνάδης, καὶ πάνυ περ ἀσχολούμενος περὶ τὴν εἰς τὸ Λατινικὸν μετάφρασίν τε καὶ ἔκδοσιν τῶν τοῦ Βαβρίου μύθων, καὶ τὴν διόρθωσιν τοῦ περὶ Γυμναστικῆς τοῦ Φιλοστράτου λόγου, τέως ἀνεκδότου, δημοσιεύσει μέντοι μετά γε τὸν Βαβρίαν· ἐπέστησεν ἀλλ' οὖν, χαριζόμενός μοι, τῇ ἀναπληρώσει τῶν ἐν τῇ Διαλεκτικῇ ἐλλειπόντων, ἅπερ ταῖς τῆς καλουμένης Παρενθέσεως γραμμαῖς τοῦ Γαληνείου κειμένου κεχώρισται· καὶ δὴ καὶ καλῶς ἔχειν ἀπεφήνατο· ὅθεν καὶ δεδημοσίευται, ὡς καὶ διώρθωται.

Ἐβουλόμην δ' ἐγὼ, ἵνα τελεώτερόν που τουτὶ εὑρεθείη τὸ ξύγγραμμα, πρὸς ἔλεγχον τῶν ἐμῶν ἀναπληρώσεων, εἰ κατὰ σκοπὸν τὸν Γαλήνειον βάλλοιεν, ἢ καὶ οὐχί· ὅμως δὲ, τόγε νῦν εἶχον,

ἐὰν μὴ κρέα παρῇ καὶ σκοροδάλμῃ στερκτέον,

φησὶν ἡ παροιμία· Καὶ τὰ μὲν περὶ τῆς εὑρέσεως, διορθώσεώς τε καὶ ἐκδόσεως τῆςδε τοῦ Γαληνοῦ τῆς βίβλου, ὧδε ἐχέτω.

Ἀλλὰ πόθεν δῆλον, φήσειεν ἄντις, τοῦ Γαληνοῦ ταύτην τὴν Διαλεκτικὴν, καὶ μὴ ἄλλου του εἶναι; Εἰ μὲν οὖν μὴ εἶχον πρὸς ταῦτα φέρειν ἀναντίῤῥητον τὴν ἀπόδειξιν τοῦ ταύτην τοῦ Γαληνοῦ εἶναι, ἠρκέσθην ἂν τῇ ἀντικειμένῃ ἀποκρίσει, εἰπών· Καὶ πόθεν δῆλον μὴ τούτου, ἀλλ' ἄλλου του, ταύτην εἶναι; καὶ οὕτως ἂν οἱ λόγοι ἀντιπεριπετεῖς μὲν ἐγίγνοντο, ὅμως δὲ πάλιν ἂν τὸ πλέον εἶχον οἱ ἐμοὶ, τῷ τὴν κατάφασιν πλεονεκτεῖν τι τῆς ἀποφάσεως, ὡς Ἀριστοτέλει δοκεῖ· νῦν δὲ ἀληθῶς ἀποδείκνυται αὐτοῦ τοῦ Γαληνοῦ εἶναι τὴν πραγματείαν,

Πρῶτον μὲν ἐκ τῆς ἐπιγραφῆς, ἥτις οὕτω κατὰ λέξιν ἔχει ἐν τῷ Ἀντιγράφῳ.

ΓΑΛΗΝΟΥ ΕΙΣΑΓΩΓΗ ΔΙΑΛΕΚΤΙΚΗ.

Τίς γὰρ ἂν ἕτερος ξυγγράψας τὴν βίβλον, ἑτέρου του περιῆψεν ὀνόματι, καὶ τίνος γ' ἕνεκα τοῦτ' ἂν ἐποίει; κέρδους γ' ἕνεκα, ὡς ἀπεμπολήσων τὴν βίβλον; ἀλλὰ πῶς ἂν πιστεύσας, ἐπείσθη ὁ ὠνησόμενος τοῦ Γαληνοῦ εἶναι ταύτην; Εἰ μὲν οὖν σοφὸς ἦν ἐκεῖνος, καὶ ἐκ τοῦ Λεκτικοῦ τε καὶ Πραγματικοῦ ἔγνω τὸν Γαληνὸν, δῆλον ὅτι Γαλήνειον ὑπῆρχε καὶ τότε, καὶ νῦν ὑπάρχει τὸ ξύγγραμμα. Εἰ δὲ ἀμαθὴς ὢν ὁ ὠνητὴς, σοφοῖς τὴν κρίσιν τῆς βίβλου ἐπέτρεψεν, ἐκεῖνοι ἀληθῶς σοφοὶ ὄντες, ἔγνων ἂν ταύτην τοῦ Γαληνοῦ εἶναι, ἢ μὴ εἶναι, οὐκ ἂν ἐκεῖνος μὴ οὖσαν τοῦ Γαληνοῦ ἠγόραζε. Τὸ δὲ φάναι τοὺς σοφοὺς ἐκείνους δωροδοκηθέντας ἐξαπατῆσαι τὸν ὠνητὴν, παντάπασιν ἀπίθανον· ἀνάγκη γὰρ προομολογηθῆναι τὸ τὰ τοιάδε τῶν

βιβλίων βαρύτιμα εἶναι κατ' ἐκεῖνο τοῦ χρόνου, ἵνα καὶ ὁ κρίνων καὶ ὁ πωλῶν ὠφελοῖντο· ὅπερ οὐχ ἴσμεν. Φέρεται μὲν καὶ ὁ Πλάτων ἐωνημένος τῶν ἑκατὸν μνῶν τρία βιβλία Πυθαγορικὰ παρὰ Φιλολάου, ἀλλ' ὁ Πλάτων ἔμελλε διαλόγους ξυγγράφειν, καὶ πολλὰ τῶν Πυθαγορικῶν δογμάτων παραδέξασθαι· καὶ ταῦτα νὴ Δία γε ἄξια ὠνήσατο· οὐδὲ γὰρ πολλοῦ, τριῶν ἐπὶ τριάκοντα μνῶν ἑκάστου βιβλίου τιμηθέντος· καὶ ῥᾴδιον ἰδεῖν, ἐν τοῖς Δημοσθενικοῖς λόγοις, ἐν οἷς περὶ σιτηρεσίου τῶν στρατιωτῶν διεξέρχεται, μὴ μέγα τι δύνασθαι τὴν μνᾶν· ὅθεν μικρὸν τὸ κέρδος ἦν ἂν καὶ τῷ δωροδοκηθέντι καὶ τῷ πωλήσαντι, πρὸς τῷ καὶ γέλωτα ὀφλισκάνειν ἐπὶ τῇ κρίσει τὸν σοφὸν, καὶ αἰσχροκερδῆ ὑποληφθῆναι, φωραθείσης μετ' οὐ πολὺ τῆς ἀπάτης, παρακούσαντα τὸ Πινδαρικὸν ἐκεῖνο·

. . . . . ὅδ' ὄλβιος, ὃν
φᾶμαι κατέχοντ' ἀγαθαί·

Ἄλλως δὲ ὁ Γαληνὸς τὰ βιβλία προῖκα γράφων, ὡς δῆλον, τοῖς φίλοις ἔπεμπε· καὶ ῥᾴδιον ἦν τῷ βουλομένῳ ἀντιγράψασθαι· Ἄνους δ' ἂν ἦν πρὸς τούτοις καὶ ὁ βίβλον ἀξίαν τιμῆς γράψας, ὡς ἑτέρῳ ἀναθεῖναι ὀνόματι, αὐτὸς ἑλὼν βίον σκότιον

. . . . . ἁπάντων
καλῶν ἄμμορος,

ἐξὸν αὐτῷ καὶ τιμῆς καὶ κέρδους ἀποφέρεσθαι· ὅθεν καὶ ἀπίθανος ἡ ἀντιλογία, καὶ ἡ ἐπιγραφὴ ἀληθὴς οὖσα, τὸν Γαληνὸν ξυγγραφέα δείκνυσι

Δεύτερον δείκνυται τοῦ Γαληνοῦ εἶναι τὴν πραγματείαν ἐκ τῶν προηγουμένων ταύτης ἐν τῷ Ἀντιγράφῳ. Προηγεῖτο γάρ τι τεμμάχιον τοῦ Γαληνοῦ λόγου τινὸς διαλαμβάνοντος περὶ Συγκοπῆς· οὗ ἐν τῷ τέλει μνείαν ποιεῖται καὶ τῶν τῆς Θεραπευτικῆς μεθόδου αὐτοῦ ξυγγραμμάτων. Τὸ δὲ τέλος τοῦ τεμμαχίου, διὰ τὸ διερῥηγμένον εἶναι τὸ φύλλον, ὡς ἔφθην εἰπὼν, ὧδ' ἔχει ἐπὶ λέξεως·

«] πεπληρωμένης τῆς πέψεως· καὶ ἡ τοῦ οἴνου δὲ πόσις
«] ὠφελίμως· ἐπὶ δὲ τοῦ Περιφρυγοῦς, φευκτέα ἡ
« αὐ]τὸ, καὶ ἡ διάθεσις αὕτη, μέση τέ ἐστι καὶ μικτὴ, τὸ
«] έστου, διασώζουσα, μεταβαλούσης δὲ τῆς τοιαύτης διαθέσεως
«] μὲν κατὰ σφύξιν τε καὶ ἀσφυξίαν φερούσης. Καὶ ἁπλῶς
« θερ] μότητα καὶ σφυγμοὺς ὁμοίους τῷ Περιφρυγεῖ
«] τὴν τῶν ἐπικρατούτων φύσιν ἐν ταῖς Συγκοπαῖς
« ἡ]μῶν, καὶ πιλούντων, καὶ πυκνούντων σύμ-
«] τὴν δὲ κατὰ μέρος ἑκάστων ἁπάντων
« θεραπείαν τε καὶ δίαιταν, ἐν τοῖς περὶ τῆς] Θεραπευτικῆς μεθόδου
« γράμμασιν, αὐτὸς ἐξευ-
« ἔχ]ουσιν, ἀλλὰ τοῖς ἕξιν ἤδη τινὰ κατὰ τὴν τέχνην.

ΓΑΛΗΝΟΥ ΕΙΣΑΓΩΓΗ ΔΙΑΛΕΚΤΙΚΗ.

Παρέθηκα δὲ ταῦτα, ὡς εἶχε κείμενα ἐν τῷ Ἀντιγράφῳ, ἐπίτηδες, εἰς δήλωσιν τοῦ ἡμίσεως διεῤῥηγμένου φύλλου, καὶ πίστωσιν τοῦ τὸν Γαληνὸν γεγραφέναι τὴν Διαλεκτικὴν, ἐκ τοῦ τεμμαχίου τοῦ πρὸ ταύτης κειμένου περὶ Συγκοπῶν λόγου, ᾧ αὐτὸς ἐκεῖνος διαλαμβάνει περὶ τῆς ἑαυτοῦ Θεραπευτικῆς μεθόδου, καὶ ἐκ τοῦ Λεκτικοῦ αὐτοῦ χαρακτῆρος. Τίς ἂν οὖν ἔτ' ἐνδοιάσειε μὴ αὐτοῦ εἶναι τὴν βίβλον; δηλονότι ὁ μηδέποτε τὸν Γαληνὸν ἀνεγνωκὼς, ἢ ἀναγνοὺς μὲν, μὴ ἐγνωκὼς δ' αὐτόν.

Τρίτον, δείκνυται αὐτοῦ εἶναι ἡ πραγματεία ἐκ τοῦ ἑπομένου μετὰ τὸ τέλος ταύτης λόγου· παρατίθημι δὲ πάλιν καὶ τὸ τέλος τῆς Διαλεκτικῆς καὶ τὴν ἀρχὴν τοῦ λόγου, ὡς ἔχει ἐν τῷ ἀντιγράφῳ· οὑτωσί·

« τέλος δ' ὁ περὶ τρίτου πρὸς αὐτοὺς, οὓς ἀμεθόδους ὀνομά-
« ζουσιν, οἷς οὐδενὸς ὄντος ὅλως μεθοδικοῦ συλλογιστέον·

ΓΑΛΗΝΟΥ ΠΡΟΣ ΓΑΥΡΟΝ

ΠΕΡΙ ΤΟΥ ΠΩΣ ΕΜΨΥΧΟΥΤΑΙ ΤΑ ΕΜΒΡΥΑ.

« Τὸ περὶ τῆς εἰς τὰ σώματα τῶν ψυχῶν εἰςκρίσεως, Ζωο-« γονίας ἕνεκα δόγμα, πολλῆς ἀπορίας οὐχ ἡμᾶς, ὦ Γαῦρε, μό-« νους, ἀλλὰ καὶ τοὺς προηγουμένως εἰς ζήτησιν αὐτοῦ κινη-« θέντας ἐμπέπληκε. κοινῶς μὲν τῶν φυσικῶν, καὶ σχεδὸν τῶν « Ἰατρῶν ἁπάντων ἀπορησάντων, πότερον χρὴ ζῷα ἡγεῖσθαι « τὰ ἔμβρυα, ἢ φυτικῶς ζῆν αὐτὰ μόνον, τῆς μὲν Ἰδιότητος τοῦ « ζῴου ἐξ αἰσθήσεως καὶ ὁρμῆς συνισταμένης, τῆς δὲ τῶν φυτῶν « ἐν θρεπτικῇ, καὶ αὐξητικῇ, χωρὶς αἰσθήσεώς τε καὶ ὁρμῆς θεω-« ρουμένης. Ὅθεν τῶν ἐμβρύων, φαντασίας μὲν χωρὶς καὶ ὁρμῆς « διεξαγόντων, αὐξητικῶς δὲ καὶ θρεπτικῶς μόνον διοικουμένων.

Φαίη τις ἂν καὶ τὸν λόγον τοῦτον, καίτοι ἐπιγραφὴν φέροντα τοῦ Γαληνοῦ, μὴ αὐτοῦ, ἀλλ᾽ ἄλλου τινὸς εἶναι, ὅτι μὴ διεσώθη ἕς γ᾽ ἐφ᾽ ἡμᾶς ὁλοσχερὴς τῶν Πραγματειῶν αὐτοῦ κατάλογος; Εἰ οὖν τοῦτ᾽ εὔλογον ἅπαντας χρὴ τοὺς εὑρεθέντας, ἢ καὶ εὑρισκομένους λόγους τοῦ σοφοῦ τούτου Ἰατροῦ, μὴ αὐτοῦ εἶναι ἰσχυρίζεσθαι. Ἐγὼ δὲ κατὰ τὴν ἐμὴν ἀποστολὴν, πλὴν τῆς Διαλεκτικῆς, καὶ τῶν δύω προεκτεθέντων τεμμαχίων, καὶ ἄλλους τινὰς ἐξεῦρον λόγους τοῦ Γαληνοῦ ἐν Ἀντιγράφοις, ἔτι ἀνεκδότους, ὡς κἂν τοῖς ἐμοῖς καταλόγοις ἐσημειωσάμην, οὓς κἀνταῦθα παρατίθημι μετὰ τῆς ἐπιγραφῆς αὐτῶν· οἷον,

Α. ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΟΣΤΩΝ ΤΟΙΣ ΕΙΣΑΓΟΜΕΝΟΙΣ (1).

« Τῶν ὀστῶν ἕκαστον, οἷόν τ᾽ ἐστιν αὐτὸ καθ᾽ ἑαυτὸ, καὶ ὡς

(1) Ὀψόμεθα τοῦτον κατωτέρω ἐν τῷ ἐκτεθησομένῳ μοι καταλόγῳ τῶν Γαληνείων Πραγματειῶν.

« ἔχει τῆς πρὸς ἄλληλα συντάξεως, ἐπίστασθαί φημι χρῆναι τὸν « Ἰατρόν. . . . .

Β. ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΚΑΤΑΠΛΑΣΜΑΤΩΝ.

« Τῶν Καταπλασμάτων τὰ μέν ἐστιν ἑψητὰ, τὰ δὲ ὠμά· καὶ « τὰ μὲν ἑψητὰ, ὅσα διὰ πυρὸς σκευάζονται· τὰ δὲ ὠμὰ, δίχα « πυρὸς συντίθενται. . . . .

Γ. ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΛΕΠΤΥΝΟΥΣΗΣ ΔΙΑΙΤΗΣ ΚΑΙ ΠΑΧΥΝΟΥΣΗΣ (2).

« Ἐπειδὴ τὰ πλεῖστα τῶν χρονίων ἀῤῥωστημάτων λεπτυνού- « σης χρῄζει διαίτης, ὡς πολλάκις ἐπὶ ταύτῃ μόνῃ καταστῆναι, « καὶ μηδενὸς ἔτι φαρμάκου δεηθῆναι.

Καὶ οὔ φημι ταῦτα μὴ εἶναι τοῦ Γαληνοῦ, δι' ὅντε λόγον εἴρηκα, καὶ διότι προηγοῦντο καὶ εἵποντο ἕτεροι τοῦ αὐτοῦ λόγοι, καὶ διὰ τὸ Λεκτικὸν καὶ Πραγματικὸν τοῦ χαρακτῆρος τοῦ ἀνδρός. Οἶδα δ' ὅτι οἱ μεταγραφεῖς πολλάκις ἐξαλλάττουσι τὰς λέξεις, καὶ μάλιστα οἱ Ἰατρικοὶ, περὶ τὸ Πραγματικὸν μὲν σπουδάζοντες, τοῦ δὲ Λεκτικοῦ,

οὐ φροντὶς, φασὶν, Ἱπποκλείδῃ·

οἷόν τι καὶ ἡ τοῦ Ἱπποκράτους πέποθεν Ἰωνικὴ Διάλεκτος, τῇ μεταγραφῇ τῶν Ἰατρῶν· παραβαλλομένη γὰρ πρὸς τὴν Ἡροδότου, καὶ πρὸς τὴν τοῦ ἐκ Καππαδοκίας Ἀρεταίου, εὑρεθήσεται ἐν πλείστοις ἀποβεβληκυῖα τὸ αὐτῆς ἰδίωμα· ἀλλ' ὅμως ὁ ἐν γένει χαρακτὴρ ἑκάστου ξυγγραφέως διακρίνεται· Οἱ δὲ πολυγραφώτατοι ξυγγραφεῖς ὑπὸ τῶν μὴ γινωσκόντων τοὺς διαφόρους Λεκτικοὺς χαρακτῆρας, γνωματεύονται οἱ αὐτοὶ ὄντες ἐν τοῖς λόγοις αὐτῶν, ἐκ τῶν νοημάτων, ἅπερ

(1) Καὶ τοῦτον ὁμοίως ὀψόμεθα.

καὶ μὴ βουλομένων τῶν ξυγγραψάντων παραφαίνεται ταὐτά· οἷον ὁ μὲν Γ δείκνυται τοῦ Γαληνοῦ ὤν, ὅτι ἐν πολλοῖς τῶν ἄλλων λόγων λέγεται ἡ λεπτύνουσα καὶ ἡ παχύνουσα δίαιτα· ὁμοίως δ' ἔχει καὶ ὁ Β. Λέγεται γὰρ καὶ πολλαχοῦ τῶν ἄλλων λόγων τοῦ Γαληνοῦ περὶ καταπλασμάτων ἑψητῶν καὶ ὠμῶν τοῖς ὁμοίοις τοπικοῖς ἀῤῥωστήμασιν ἁρμοζόντων. Δείκνυται δὲ καὶ ὁ Α αὐτοῦ εἶναι, οὐ μόνον ἐκ τοῦ κατωτέρου καταλόγου, καὶ ἐκ τῶν ἄλλων ἀνατομικῶν θεωρημάτων αὐτοῦ, ἀλλὰ καὶ ἐκ τῶν Ὀριβασίου, τοῦ ἐκ τῶν τοῦ Γαληνοῦ, ὀστεολογοῦντος· ἐξ ὧν δείκνυται καὶ ταῦτα καὶ ἡ Διαλεκτική, περὶ ἧς ὁ νῦν μάλιστα λόγος, αὐτοῦ εἶναι.

Τέταρτον δείκνυται ἡ βίβλος αὕτη αὐτοῦ ὑπάρχειν, ἐκ τοῦ Λεκτικοῦ, ὡς ἔφην χαρακτῆρος τοῦ Γαληνοῦ, ὁμοίου ὄντος τῷ ἐν τοῖς ἄλλοις αὐτοῦ λόγοις ἔκτε τῶν ἐπιχειρημάτων, καὶ τῶν κατασκευῶν, καὶ ἐνθυμημάτων, καὶ τῆς τοῦ λόγου περιβολῆς, καθὰ δὴ καὶ τῆς σχηματολογίας, καθ' ἅπερ ἄλλος τῶν ἄλλων ξυγγραφέων, διαστέλλεται, ὁ μὲν καθ' ἕξιν χρώμενος, ἢ χαίρων τούτοις, ὁδ' ἐκείνοις, ὁδ' ἄλλος τοῖς ἄλλοις. Παράδειγμα δὲ τῶν ἐν μέρει σχημάτων, ἔστω τὸ ἐφεξῆς· οἷον, ἐν μὲν τῇ Διαλεκτικῇ φησιν·

> « Οὐ μὴν οὔτε ἀποφήσαντες τὸ ἓν, εἰάσαμεν ὑπάρχειν τὸ λοιπὸν,
> « οὔτε καταφήσαντες ἐκεῖνο. . . . »

Ἐν δὲ τῷ περὶ συνθέσεως τῶν ἁπλῶν φαρμάκων δ′ βιβλίῳ φησίν.

> « Οὔτε τὸ προηγούμενον, οὔτε τὸ ἀφαιρούμενον ἶσον, οὔτε κατ'
> « εἶδος αὐτῶν, οὔτε κατὰ γένος· »

Ὁ γὰρ εἰδήμων καὶ μικρὸν ὅσον τοῦ σχηματολογικοῦ χαρακτῆρος, οἴσεται αὐτίκα, ὅτι Γαληνὸς φθέγγεται κἀν τῇ Διαλεκτικῇ κἀνταῦθα.

Οἶδα δ' ὅτι ἡ ἐξέτασις τοῦ Λεκτικοῦ τε καὶ Πραγματικοῦ χαρακτῆρος τῶν καθ' Ἕλληνας ξυγγραφέων, Δηλίου ἐδεῖτο κολυμβητοῦ καὶ πάλαι μὲν, ἀτὰρ καὶ νῦν, ὁπότε τὰ τῆς αὐτῶν Διαλεκτικῆς καὶ Ῥητορικῆς ἐν τῷ καθ' ἡμᾶς αἰῶνι παρημέληται· Ὁ γάρ τοι ἐν τού-

τοις προτελεσθεὶς τοῖς μαθήμασιν, ἀνεγνωκὼς, φέρε, τὴν περικοπὴν τοῦ πρώτου περὶ στοιχείων λόγου τοῦ Γαληνοῦ, οἷον τὴν,

« Τὸ μὲν δὴ κεφάλαιον τοῦτο, πρόδηλον ὑπάρχον ἅπασι τοῖς
« ἐν τῇ Λογικῇ Θεωρίᾳ γεγυμνασμένοις, οὕτω πως περαίνει τὸ
« προκείμενον· ἐπεὶ δὲ πρὸς τὸ μὴ γεγυμνᾶσθαι τὸν λογισμὸν
« καὶ ἄλλως εἰσὶ φιλόνεικοι. . . . .

Ὁ ταῦτά φημι ἀναγνοὺς, καὶ ἔπειτα τὴν παροῦσαν Διαλεκτικὴν, οὐκ ἂν δήπου ὑπενδοιάσειε μὴ οὐχὶ αὐτὸν εἶναι τὸν Γαληνὸν ἐν ἑκατέρῳ τῷ βιβλίῳ φθεγγόμενον· εἰ μή τις παντάπασιν ἀγύμναστος εἴη ἐν τῇ Λογικῇ Θεωρίᾳ· ὁ γὰρ τοιοῦτος οὐκ ἂν κατανοήσειε τὸν Γαληνὸν, ὡς αὐτὸς, ἐν οἷς φησιν, ἀποφαίνεται.

Ἀλλ' ἔγωγε παραθήσομαι καὶ ἑτέραν περικοπὴν ἐκ τοῦ αὐτοῦ περὶ στοιχείων τοῦ Γαληνοῦ λόγου εἰς ἀπόδειξιν τοῦ εἶναι αὐτοῦ τὴν Διαλεκτικὴν, ἐκ τοῦ Πραγματικοῦ μάλιστα χαρακτῆρος, ἐν οἷς φησι τὸν Ἱπποκράτην ὑποθετικῶς συλλογίζεσθαι.

« Ἴδωμεν ὅπως συνάπτει τῷ προειρημένῳ λόγῳ τὸν ἐφεξῆς·
« ἔχει δ' ἡ σύμπασα ῥῆσις ὧδε. Ἐγὼ δέ φημι, εἰ ἓν ἦν ὁ ἄν-
« θρωπος, οὐδέποτ' ἂν ἤλγεεν, οὐδὲ γὰρ ἂν ἦν ὑφ' ὅτου
« ἀλγήσειεν, ἓν ἐών· εἰ δὲ καὶ ἀλγήσειεν, ἀνάγκη καὶ
« τὸ ἰώμενον ἓν εἶναι· Εἰ ἕν φησιν ὑπῆρχεν ὁ ἄνθρωπος, οὐκ
« ἂν ἤλγει· εἰ δέ γε καὶ ἤλγει, ἀναγκαῖον ἂν ἦν ἓν εἶναι καὶ τὸ
« ἰώμενον. Κατὰ δὲ τὸν αὐτὸν τρόπον τοῦ σχήματος τοῦ συλλο-
« γιστικοῦ καὶ τὸν ἀπὸ τῆς ἰάσεως ἐρωτᾷ λόγον, ὥςπερ ἠρώτησε
« καὶ τὸν ἀπὸ τῶν ἀλγημάτων· ἀκόλουθον γὰρ λαβὼν τῷ προ-
« τέρῳ τὸ δεύτερον, εἶτ' αὖθις προσλαβὼν τὸ ἀντικείμενον τῷ
« ἑπομένῳ, περαίνει τὸ ἀντικείμενον τῷ ἡγουμένῳ.

« εἴπερ γὰρ ἓν ἦν ὁ ἄνθρωπος, οὐκ ἂν ἤλγησεν·
« ἀλγεῖ δέ γε,
« οὐκ ἄρα ἕν ἐστιν·

« Ὡσαύτως δὲ καὶ ὁ ἀπὸ τῆς Ἰάσεως ἐρωτηθήσεται λόγος·

« εἰ ἓν ὢν ὁ ἄνθρωπος ἀλγεῖ, καὶ ὁ τρόπος τῆς ἰάσεως εἷς ἐστιν·
« οὐχ εἷς δέ γε ὁ τρόπος τῆς ἰάσεως,
« οὐκ ἄρα ἓν ὢν ὁ ἄνθρωπος ἀλγεῖ·

« Δεῖ τοίνυν κἀνταῦθα πάλιν, ὡς καὶ πρόσθεν ἐποιήσαμεν, ὅτι « τε τῷ προτέρῳ τὸ δεύτερον ἀκολουθεῖ, καὶ ὅτι καλῶς προσ- « λαμβάνεται τὸ τοῦ λήγοντος ἀντικείμενον, ἀποδείξαντας ἡμᾶς, « ἐξήγησίν τε ἅμα καὶ πίστιν τὴν δέουσαν παρασχέσθαι τῷ « λόγῳ .... »

Καὶ κατωτέρω πάλιν φησί·

« Ὥστε ὀρθῶς εἶπεν, ὅτι τὸ ἰώμενον οὐχ ἕν ἐστιν· ἀλλὰ καὶ « ταύτης γε τῆς Προτάσεως, καὶ τῆς ἑτέρας, ἣν ἐξ ὑποθέσεως « ἔλαβε, τὸ μὴ ἓν εἶναι τὸ στοιχεῖον ἐπεραίνετο ... »

Τίς οὖν τούτοις ἐπιστήσας, κἂν καὶ μικρὸν τρίβων διαλεκτικῶν λόγων, ἀμφισβητήσειε περὶ τοῦ τὸν Γαληνὸν συντάξασθαι, ἢ μή, τὴν πραγματείαν ταύτην; τὸ δὲ καὶ παραδείγματα θεραπευτικῆς ἐνθεωρεῖσθαι ἐν αὐτῇ, προσεπιβεβαιοῖ τὸ λεγόμενον.

ΠΕΡΙ ΤΟΥ ΤΟ Δ′ ΣΧΗΜΑ ΤΟΥ ΣΥΛΛΟΓΙΣΜΟΥ ΕΙΝΑΙ ΤΟΥ ΓΑΛΗΝΟΥ.

Προσθήσω δὲν καὶ πέμπτην ἀπόδειξιν, ἐξ ἧς ἐμφανέστατα δείκνυται Γαληνὸς εἶναι ὁ τὴν Διαλεκτικὴν ξυγγραψάμενος· λέγω δὲ ἐκ τοῦ τετάρτου σχήματος τῶν Συλλογισμῶν· ὅγε ψιλῷ μόνον λόγῳ ἄχρι τοῦδε οἱ νεώτεροι λογικευόμενοι τῷ Γαληνῷ ἀπένεμον· ὁ δὲ Βούλγαρις Εὐγένιος ἐν τῷ περὶ Σχημάτων τῶν Συλλογισμῶν τῆς αὐτοῦ Λογικῆς ταῦτα περὶ τούτου παρασημειοῖ·

« Παρὰ μόνοις τοῖς Ἄραψιν εὑρεῖν ἐστι τουτὶ φερόμενον· οὐδὲ « γὰρ οὐδ' ἐν τοῖς τοῦ Γαληνοῦ σωζομένοις καθ' ἡμᾶς συγ-

« γράμμασι τοιοῦτόν ἐστιν εὑρεῖν· οὐ δέ τις τῶν Ἑλλήνων περὶ
« τούτου μαρτυρῶν φαίνεται. »

Ἀλλ' ὅγ' ἐν τῇ Ἀραβικῇ μεταφράσει τῶν τοῦ Γαληνοῦ ἐφέρετο, οὐκ ἀεικὲς ἐφέρετο. οὐδὲ γὰρ ἔωλον εἶναι τὴν φήμην, θεὸν οὖσαν φαίη ἂν Ἡσίοδος· διακηρύττει δὲ τὸν Γαληνὸν καὶ συγγραφέα εἶναι Διαλεκτικῆς, ἣν ἡ ἐμὴ ἀποστολὴ, χάρις τῷ Ὑπουργῷ Βιλλεμαίνει, ἐξεύρατο, καὶ ἀνεσώσατο, ὡς καὶ ἄλλ' ἄτα ἐν ὑπογείοις πύργων σηψόμενα. Τὸ δέγε μηδένα τῶν Ἑλλήνων φαίνεσθαι ταύτης μάρτυρα, οὐκ ἐμφαίνει τὸ μὴ ὑπάρχειν τὴν τοῦ Γαληνοῦ Διαλεκτικὴν, ἀλλὰ τὸ τὰ συγγράμματα αὐτοῦ μὴ ἀναγνωσθῆναι ὑπὸ φιλοσόφων τῶν ἔπειτ' ἀνδρῶν, ἀλλ' ὑπὸ Ἰατρῶν μόνων, φέρ' εἰπεῖν Παύλου Αἰγινήτου, Ἀετίου, Ἰωάννου Διοικητοῦ ἀπὸ ἐπάρχων καὶ ἄλλων τινῶν μετὰ Γαληνὸν βεβιωκότων, οἷς οὐ φιλοσοφία, Ἰατρικὴ δ' ἦν τὸ σπουδαζόμενον. Οἵ τε μετὰ Γαληνὸν ἀκμάσαντες, καὶ Διαλεκτικῆς ἀντιποιούμενοι, ὑπῆρξαν ὑπομνηματισταὶ μᾶλλον, ἢ Διαλεκτικῶν ξυγγραφεῖς· οἷοί περ Ἀλέξανδρος Ἀφροδισσιεὺς, Ἀμμώνιος, Πορφύριος, Σιμπλίκιος, Μιχαὴλ Ἐφέσιος, Ἰωάννης φιλόπονος, Ἡλίας φιλόσοφος ἀπὸ ἐπάρχων, καὶ εἴ τινες ἄλλοι. Εἰ δέ τινες καὶ λογικὰς πραγματείας μετὰ Γαληνὸν ξυνέγραψαν, ἐμοὶ μὲν ἄδηλοι· οἶδα δὲ τὸ περὶ Κατηγοριῶν τοῦ Φωτίου ἐν Ἀντιγράφοις σωζόμενον, καὶ τὴν τοῦ Ἰωάννου τοῦ Δαμασκηνοῦ Λογικὴν, τὴν τοῦ Βλεμμίδου, περὶ οὗ αὐτίκα ἐρῶ, ἐπιτομὴν τῆς Λογικῆς, τὴν τοῦ Κορυδαλέως, καὶ τὴν τοῦ Δαμῳδοῦ. Ἀλλ' ἅπαντες οὗτοι ἅτε Ἀριστοτελικοὶ τῆς τοῦ σφετέρου ἡγεμόνος δόξης ἀντεχόμενοι, τὸ τριττὸν τῶν συλλογιστικῶν Σχημάτων ἡμῖν παραδεδώκασι, μηδὲν εἰρηκότες περὶ τοῦ τετάρτου τοῦ καὶ Γαληνείου Σχήματος.

Ἀλλὰ τόν γε Βλεμμίδην οὐκ ἂν φαίη Εὐγένιος μὴ ἀνεγνωκέναι τὴν Διαλεκτικὴν τοῦ Γαληνοῦ· τὰ γὰρ ἐν τῷ λδ′ κεφαλ. (1). Τῆς

(1) Ὅρα κεφ. λδ′· ἐπιτομῆς τῆς λογικῆς τοῦ Βλεμμίδου ἔνθα περὶ τοὺς ις′ τρόπους διαλέγεται· ἀλλὰ κἂν τῷ λε′ κεφ· εὑρήσεις οὐκ ὀλίγα ὡσαύτως ἔχοντα τοῖς τοῦ Γαληνοῦ. Ἐτυπώθη δὲ πρῶτον ἡ τοῦ Βλεμμίδου Λογικὴ τῷ 1505· μετὰ ταῦτα δὲ καὶ ἐν Λειψίᾳ μετὰ τῆς φυσικῆς αὐτοῦ.

ἐπιτομῆς αὐτοῦ ἅπαντα σχεδὸν ἔνεισιν ἐν ταῖς 18, 19, 20, .. 23 σελίσι τῆς Διαλεκτικῆς τοῦ Γαληνοῦ σχεδὸν ταὐτά· καὶ δῆλον ὅτι κατὰ τὸν δωδέκατον καὶ Τρισκαιδέκατον, καθ' ὃν ὁ Βλεμμίδης ἤκμασεν αἰῶνα, μὴ ἄγνωστον γεγονέναι τὴν πραγματείαν ταύτην τοῦ Γαληνοῦ· ἀλλ' ἔθος ἦν τοῖς Βυζαντινοῖς, ὡς καί τισι τῶν παλαιῶν, τὰ τῶν ἄλλων σφετεριζομένοις μηδὲ μνείαν ποιεῖσθαι τῶν συγγραψάντων· καθὸ καὶ ἀξίωμα ἐτύγχανε παρ' αὐτοῖς τὸ,

Συγγράφειν ἐστὶν ἄριστα, κλέπτειν μετ' εὐφυΐας·

ἐγὼ δὲ καὶ Ἐπίκτητον οἶδα ἐν περγαμινῷ δέρματι γεγραμμένον καὶ ἀναφερόμενον, ὡς σύγγραμμα τῶν τῆς ἐκκλησίας πατέρων. Χάρις μέντοι Νικηφόρῳ τῷ Βλεμμίδῃ, ὅτι ἀφελῶς τὰ τοῦ Γαληνοῦ ἡμῖν παρέθηκε, καὶ συμμαρτυροῦντι, οὕτω φάναι, ἡμῖν τῆς Διαλεκτικῆς ταύτης τῷ Γαληνῷ ξυγγραφεῖ· βουλομένῳ μέν τοι ἐοικότι μὴ ἐξελεγχθῆναι· ἐμνημόνευσε γὰρ ἂν ἐν τῇ αὐτοῦ ἐπιτομῇ τοῦ Δ Σχήματος, δικαίως τῷ Γαληνῷ ἀναγραφομένου.

Οὐκ ἄχρηστον ἀλλ' οὖν τὸ σχῆμα οὐ δὲ ἀπόβλητον, ὥς τινες τῶν νεωτέρων ᾠήθησαν, οὐ μὰ Δία γε διὰ τὴν Ἱερὰν τετρακτὺν τῶν Πυθαγορείων, τὴν ἐν τετάρτῳ ἀριθμῷ συμπληρουμένην, οὐ δὲ περιττὸν, διότι τῆς Δευτέρας Προτάσεως Πρώτης τεθείσης, καὶ τῆς Πρώτης Δευτέρας, σχῆμα τὸ πρῶτον ἀνέκυψεν· ἀλλ' ὅτι πλειόνων ὄντων τῶν Σχημάτων, εὐμαρεστέρα καθίσταται, ἡ πρὸς ἀπαγγελίαν ὁρμὴ τοῦ ἐνδιαθέτου ἐν ἡμῖν λόγου· Ἀεικίνητος γὰρ ὢν, καὶ πολλὰς ὁδοὺς ἔχων, ῥᾴδιον ἂν ἐξορμήσειεν ἐξαγγελῶν τά γε οἱ παριστάμενα· ὅθεν δῆλον, ὅτι οὐ δὲ περιττὸν τὸ σχῆμα, ὥς τινες τῶν νεωτέρων λογικευομένων ᾠήθησαν. Οὐ δ' ἀληθὲς, ὅτι παρὰ φύσιν τὸ σχῆμα, καὶ ἀπᾷδον τῆς τοῦ ἡμετέρου νοὸς φύσεως· διαλλήλως γὰρ ἀντιπίπτει τουτὶ τὸ ἐπιχείρημα. Τί γὰρ μὴ καὶ τὸ Πρῶτον παρὰ φύσιν καθέστηκεν; εἰ δὲ ἀποχρῶντα λόγον τοῦ μὴ κατὰ φύσιν εἶναι οὐκ ἔχουσι, πρόδηλον καὶ τοῦτο, ὡς ἐκεῖνο, κατὰ φύσιν εἶναι· καί τοι ἡ ἐν Παρισίῳ ποτὲ σοφὴ ἑταιρία τοῦ Port-Royal οἴεται ἐν τῇ ὑπ' αὐτῆς ἐκδοθείσῃ Λογικῇ Διϊσχυριζομένη, τὸν Ἀριστοτέλην ἐγνωκέναι μὲν, μὴ χρήσασθαι δὲ

τῷ σχήματι· ὅπερ προῖκα λέγεται, ὡς καὶ τὰ ἄλλα. Εἴη γὰρ ἂν εἴπερ, οὐκ ἂν σιγῶντες παρῆλθον οἱ τὰ τοῦ Σταγειρίτου ὑπομνηματίσαντες· λέγει δ' ἐπὶ λέξεως ἡ σοφὴ ἑταιρία οὕτως·

Où il est enfin *attribut dans la majeure, et sujet en la mineure*, ce qui peut faire une quatrième *figure :* étant certain que l'on peut conclure quelquefois nécessairement en cette manière; ce qui suffit pour faire un vrai syllogisme, on en verra des exemples ci-après.

Néanmoins parce qu'on ne peut conclure de cette quatrième manière, qu'en une façon qui n'est nullement naturelle, et où l'esprit ne se porte jamais, Aristote et ceux qui l'ont suivi, n'ont pas donné à cette manière de raisonner, le nom de *figure*. Galien a soutenu le contraire, et il est clair que ce n'est qu'une dispute de mots, qui se doit décider en leur faisant dire de part et d'autre ce qu'ils entendent.

Mais ceux-là se trompent sans doute qui prennent pour une quatrième figure, qu'ils accusent Aristote de n'avoir pas reconnue, les arguments de la première, dont la majeure et la mineure sont transposées, comme lorsqu'on dit :

Tout corps est divisible,
tout ce qui est divisible est imparfait,
donc tout corps est imparfait.

Je m'étonne que M. Gassendy soit tombé dans cette erreur. Car il est ridicule de prendre pour la majeure d'un syllogisme la proposition qui se trouve la première, et pour mineure celle qui se trouve la seconde, etc.

Πρὸς ταῦτα ἀπαντῶμεν λέγοντες τῇ σοφῇ ἑταιρίᾳ· Εἰ μὲν ἦν ἀεὶ συλλογίζεσθαι ἀπὸ τῶν γενικωτέρων ἐπὶ τὰ εἰδητικώτερα καὶ ἀτο-

μικώτερα, ὀρθῶς ἂν εἶχε κακύνειν τὸ Δ' σχῆμα· ἐπεὶ δὲ πλειστάκις συμβαίνει ἀπὸ ἴσων εἰς ἶσα, καὶ μᾶλλον πλειστάκις, ἵν' οὕτως εἴπω, ἀπὸ τῶν καθ' ἕκαστα ἐπὶ τὰ εἴδη καὶ τὰ γένη, ὃ μάλιστα καὶ ἀναλυτικώτερον καὶ φυσικώτερον ὑπάρχει, πῶς εὔλογον περιττὸν ἡγεῖσθαι τὸ σχῆμα; Ἀρχὴ γὰρ ἁπασῶν τῶν γνώσεων ἡμῶν τὰ καθ' ἕκαστα. Καὶ ὀρθῶς Ἀριστοτέλης εἴρηκε ταῦτα πρότερα εἶναι τῶν γενῶν· βεβήκασι γὰρ ἐπ' αὐτοῖς ἅπασαι αἱ τέχναι καὶ ἐπιστῆμαι ἀπὸ τῶν μερικῶν προοδοποιούμεναι ἐπὶ τὰ καθόλου, ἢ τοὺς κανόνας· οἵγε ὡς γενικώτεροι πολὺν χρόνον ὕστερον διεμορφώθησαν· Ἆρ' οὖν ἔδει γε τοὺς ἀνθρώπους μὴ συλλογίζεσθαι τὰ πρὸς τὴν πρόοδον αὐτῶν, εἰμὴ ὅταν κανονισθῶσιν; ἀλλὰ τοῦτ' ἂν πᾶσαν πρόοδον ἀνεχαίτισε· Καὶ εἰ τοῦτο ἐποίουν οἱ ἄνθρωποι, οὐδεμία τῶν ἀνθρωπίνων γνώσεων ἐφίκετ' ἂν, εἰς ὅπερ ἤδη τελειότητος καθέστηκε. Πῶς οὖν ἡ σοφὴ αὕτη ἑταιρία κατειρωνεύεσθαι τολμᾷ τοῦ Γασσένδου, ὅτι οὕτω συνελλογίσατο;

Πᾶν σῶμά ἐστι διαιρετὸν
πᾶν διαιρετὸν ἀτελές,
τὶ ἀτελὲς ἄρα σῶμα·

καὶ ὅτου γε χάριν; ὅτι τὸ ἀτελὲς γενικώτερον οἴεται τοῦ ὅρου, σῶμα, ἅτε διαιρετόν; Εἰ δὲ φύσις τοῦ σώματος τὸ εἶναι διαιρετὸν, πῶς ἂν ἔπειτα κατὰ σώματος τὸ ἀτελὲς κατηγορήσαιμεν· καὶ γὰρ

ἀδύνατον τὸ μέρη ἔχον μὴ εἶναι διαιρετὸν·
τὸ δὲ διαιρετόν ἐστὶ σῶμα
τὸ σῶμα ἄρα μέρη ἔχει.

ἐπὶ οὖν τοῦ προειρημένου ὑποδείγματος, τίς ἀνάγκη ἀντικαταστῆσαι τὴν ἐλάττω τῆς μείζονος, ἢ ταύτην ἐκείνης; Λεχθήτω δὲ σαφέστερον οὕτω·

τὸ μέρη ἔχον ἀναγκαίως ἐστὶν ἀτελές·
τὸ δὲ ἀτελές ἐστι σῶμα·
τὸ σῶμα ἄρα ἀναγκαίως ἐστὶν ἀτελές·

τί πλέον περανεῖ ἐνταῦθα τοῦ κατὰ τὸ Δ σχῆμα Συλλογισμοῦ, ἣν ἀντικαταστήσωμεν τὴν Ἐλάττω τῆς Μείζονος, εἰπόντες κατὰ τὸ Α σχῆμα; οἷον,

τὸ μέρη ἔχον, ἀναγκαίως ἐστὶ διαιρετόν·
τὸ σῶμα ἀναγκαίως ἔχει μέρη·
τὸ ἄρα σῶμα ἀναγκαίως ἐστὶ διαιρετόν·

ἐγὼ μὲν οὐχ ὁρῶ· ἀλλ' οὐδ' εἴτις καὶ μικρὸν μεμύηται τὴν Διαλεκτικήν· Ὁμοίως ἔχει καὶ τὸ ἑξῆς.

πάντα τὰ δίποδα εἰσὶ ζῷα·
οἱ ἄνθρωποι καὶ τὰ πτηνὰ εἰσὶ δίποδα.
οἱ ἄνθρωποι καὶ τὰ πτηνά, εἰσὶ ζῷα·

καὶ τὴν Ἐλάττω δὲ Μείζονα ποιήσαντες, ἐναλλάξ, ὡς

οἱ ἄνθρωποι καὶ τὰ πτηνά, εἰσὶ δίποδα·
πάντα τὰ δίποδα εἰσὶ ζῷα·
οἱ ἄνθρωποι καὶ τὰ πτηνά εἰσι ζῷα·

οὐδὲν πλέον περανοῦμεν ἐκ τῆς μεταθέσεως ταῖν δυεῖν προκειμέναιν. Πῶς οὖν οὐ γέλωτα ὀφλισκάνει παρὰ τοῖς ἀληθῶς διαλεκτικοῖς ἡ σοφὴ ἑταιρία τοῦ Port-Royal, ἀγνωμόνως ἐπεξερχομένη τῷ Δ' σχήματι, καὶ μὴ συνιεῖσα τοῦ μᾶλλον κατὰ φύσιν εἶναι τὸ σχῆμα τοῦτο; Ἔγωγε μάλιστα μὲν ἂν θείην αὐτὸ, οὐ Τέταρτον, ἀλλὰ Πρῶτον, ὡς μᾶλλον κατὰ φύσιν ὂν τῶν ἄλλων σχημάτων, δι' οὓς ἔφθην εἰρηκὼς λόγους· καθ' οὓς τὰ ὄντα ἐξ ἀρχῆς μανθάνομεν ἐκ τῶν καθ' ἕκαστα ἐπὶ τὰ γενικώτερα ἀνατρέχοντες οἱονεὶ κλιμακηδὸν, τοῦ κατηγορουμένου εὐθὺς λαμβανομένου εἰς ὑποκείμενον· οἷον,

ὁ Πέτρος ἐστὶν ἄνθρωπος
ὁ ἄνθρωπός ἐστι ζῷον·
ὁ Πέτρος ἐστι ζῷον.

Ἀλλὰ καὶ ὁ Γαληνὸς πρῶτον δοκεῖ προτάξαι ἐν τῇ Παρούσῃ Διαλεκτικῇ· ὥστε τὸ τῶν Σχημάτων Διάγραμμα ἀντὶ τοῦ

Ὑπὸ Κατ' Ἄλφα·
Δὶς Ὑπὸ Βῆτα·
Δὶς Κατὰ Γάμμα·
Καθ' Ὑπὸ Δέλτα·

γενέσθαι τὸ

Καθ' Ὑπὸ Ἄλφα·
Ὑπὸ Κατὰ Βῆτα·
Δὶς Ὑπὸ Γάμμα·
Δὶς Κατὰ Δέλτα·

Ἀλλ' ἴδωμεν πῶς εἰςβάλλει ἐς τὸ ἑαυτοῦ Σχῆμα.

Πρῶτον μὲν οὖν διδάξας ἁπλῶς περὶ τῶν κατηγορικῶν Συλλογισμῶν, καταφατικῶν τε καὶ ἀποφατικῶν, καὶ κατ' ἐπιδρομὴν διελθὼν τοὺς ὑποθετικούς, ὧν ἄλλοις ἄλλα ὀνόματα περιῆψεν ὁ Χρύσιππος, καλῶν αὐτοὺς πρώτους, δευτέρους, κ.τ.λ. δέον φησὶ τοὺς κατηγορικούς, πρώτους λέγειν ὡς ἁπλουστέρους· ἀλλ' ἀδιάφορον πάλιν ὑπολαμβάνων τὸ τοὺς ἑτέρους, ἤτοι ὑποθετικούς, διδάσκειν καὶ ὀνομάζειν προτέρους, χρήσιμόν ἐστι φησὶν εἰδέναι τὰ μέρη τοῦ Συλλογισμοῦ. Καὶ γὰρ ὥσπερ ἐν τοῖς ὑποθετικοῖς ἐστι πρόσληψις ἤτοι τοῦ ἡγουμένου, ἢ τοῦ ἑπομένου, οὕτω κἀν τοῖς κατηγορικοῖς· ὁ γάρ τοι εἰπών,

Ἅπαν καλὸν αἱρετόν ἐστιν· [ἡ Μείζων αὕτη]

ἀναγκαῖον ἔχει πρὸς τὸ γενέσθαι τινὰ Συλλογισμὸν, παραλαμβάνειν δίκην προσλήψεως ἐν τῇ Ἐλάττονι τῶν προτάσεων, ἤτοι τὸ καλὸν, ἢ τὸ αἱρετόν· ἀλλ' οὐκ ἐξ ἀνάγκης ὡς ἐν ἐκείνοις καὶ μόνον θάτερον. Καὶ γὰρ ἐν ἐκείνοις, εἰ μὴ προσληφθείη, μήτε θάτερος τῶν ὅρων, μήτε τὸ ἀντικείμενον αὐτοῖς, οὐκ ἂν συσταίη Συλλογισμὸς, οὔτ' ἐν καταφάσει, οὔτ' ἐν ἀποφάσει. Ἐν μέν τοι τοῖς κατηγορικοῖς προσλαμβάνειν ἀνάγκη θάτερον τῶν ὅρων· ἀλλ' οὐ μόνον ὡς ἐν τοῖς ὑποθετικοῖς. Οὐ

γὰρ ἂν ἐκ τοῦ καλὸν μόνον ἢ ἐκ τοῦ αἱρετὸν, ἡ Ἐλάττων συσταίη· ἀλλὰ δεῖ κατηγορηθῆναί τι ἑνὸς τούτοιν· ὃ δύναταί τις συμπλέκειν μεθ' οὗ ἂν ἑτέρου βουληθῇ ὅρου· δυνατὸν γὰρ αὐτῷ τοιάνδε πρότασιν ἐν τῇ Ἐλάττονι προστιθέντι, ποιῆσαι Συλλογισμὸν,

Ἅπαν [καλὸν] αἱρετὸν, ἀγαθόν ἐστιν· [ἡ Ἐλάττων]

Οὕτως οὖν ὁ Γαληνὸς τάξας τὸν ὅρον αἱρετὸν, ἐν μὲν τῇ Μείζονι κατηγορούμενον, ἐν δὲ τῇ Ἐλάττονι ὑποκείμενον, διεσχημάτισε τὸ Δ σχῆμα τοῦ Συλλογισμοῦ, δηλονότι τὸ

Καθ' Ὑπὸ,

τοὐνδόσιμον λαβὼν, οἶμαι, ἐκ τῶν ὑποθετικῶν, ἢ διαιρετικῶν Συλλογισμῶν, ὡς γὰρ ἐν ἐκείνοις ἅτερος τῶν ὅρων, ἤτοι τὸ ἡγούμενον, ἢ τὸ ἑπόμενον κἄντε συνημμένον, κἄντε διεζευγμένον ᾖ, κἄν τε ὕπαρξιν ἢ ἀκολουθίαν μόνον ἐμφαίνῃ τὸ πρόσλημμα, ἐξ ἀνάγκης παραληφθήσεται πρὸς σύστασιν τῆς Ἐλάττονος, κἄντε ἀποφατικῶς κἄντε καταφατικῶς, οὕτω κἀπὶ τῶν κατηγορικῶν· οἷον ἐπ' ἐκείνων, λαβόντας τὸ ἡγούμενον, λέξομεν·

εἰ ἡμέρα ἐστὶν, ὁ ἥλιος ὑπὲρ γῆν ἐστιν,
ἀλλὰ μὴν ἡμέρα ἐστὶν,
ὁ ἥλιος ἄρα ὑπὲρ γῆν ἐστιν·

προσλαβόντες δὲ πάλιν τὸ ἑπόμενον, ἐροῦμεν ἐν τῇ Ἐλάττονι·

ἀλλὰ μὴν ὁ ἥλιος ὑπὲρ γῆν ἐστιν·
ἄρα ἡμέρα ἐστίν.

Ἐπεὶ οὖν ἐνταῦθα θάτερον παραλαμβάνεται ἢ τὸ ἡγούμενον, θέσιν ἔχον ὑποκειμένου, ἢ τὸ ἑπόμενον τάξιν ἔχον κατηγορουμένου, τούτοις ἐπιστήσας ὁ Γαληνὸς, δηλοῖ δὲ καὶ αὐτὸς τοῦτο, ἐφ' οἷς μᾶλλον ἐπέμεινε τῇ τῶν ὑποθετικῶν διδασκαλίᾳ, δυνατὸν ᾠήθη καὶ ἐπὶ τῶν κατηγορικῶν τοῦτο γενέσθαι, ὡς ἑκάτερον τὸν ὅρον τῆς Μείζονος

μέσου δίκην παραλαμβάνεσθαι πρὸς σύστασιν τῆς Ἐλάσσονος· καὶ τοῦ σχήματος

Ὑπὸ Κατὰ,

ἤδη γνωστοῦ ὄντος, συστήσεται καὶ τὸ ἐναλλὰξ

Καθ' Ὑπό·

καὶ τὴν τετρακτὺν τῶν σχημάτων συμπληρωθῆναι· λέγω τὸ συμπληρωθῆναι, ἐπειδὴ οὐκ ἔτι πλέον ἐγχωρεῖ ἕτερον σχῆμα ὁτιοῦν γενέσθαι. Τριῶν γὰρ ὄντων τῶν ὅρων ἐν τοῖς κατηγορικοῖς Συλλογισμοῖς, μηδὲν διαφερέτω ἁπλοῦς ἢ συνθέτους εἶναι, καὶ τεσσάρων τῶν χωρῶν, ἐν τῇ Μείζονι καὶ Ἐλάττονι τῶν προτάσεων δύω ἐν ἑκατέρᾳ, ὁ μέσος εἰς μίαν τῶν τεσσάρων μεταστήσεται, καὶ οὐδὲν πλέον.

Τὸ δὲ λέγειν, τὸν Ἀριστοτέλην ἔχοντα δαιμόνιον νοῦν, καὶ ὑποδείξαντα τοὺς τρεῖς ὅρους, καὶ τὰς χώρας αὐτῶν, ἀδύνατον μὴ κατανοῆσαι, ἢ κατανοήσαντα παραμελῆσαι τοῦ σχήματος, ὡς ἀσυμπεράντου, οὐκ ὀρθῶς λέλεκται· δέδεικται γὰρ ἀνωτέρω, ὅτι τὸ σχῆμα καὶ κατὰ φύσιν, καὶ συμπεραντικώτατον· καὶ κατανοήσαντα τὸν Ἀριστοτέλην οὐκ ἂν τούτου ὀλιγωρῆσαι· Καὶ τί θαυμαστὸν, εἰ μὴ κατενόησε τὸ σχῆμα; Καὶ ὀρθῶς ἔφη τις, τῶν πατέρων οἶμαι τῆς ἐκκλησίας·

ὃ διδασκάλους ἔλαθε, τοῦτο μαθηταῖς ἐπεφοίτησε·

Φασὶ δὲ καὶ τὸν σοφὸν Νούτωνα ἐν πολλοῖς τῶν ἀστρονομικῶν ὑπολογισμῶν σφαλέντα, ἐπανορθωθῆναι ὑπό τινος τῶν αὐτῷ συμφιλοσοφούντων·

τοῖος γὰρ νόος ἀνθρώποισι.

Καὶ τὰ πράγματα, καίπερ οὐ μικρὰ, μετὰ τὴν εὕρεσιν οὐ μεγάλα κρίνεται. Ὅθεν οὐδ' εὔλογα δοκοῦσί μοι λέγειν, γνωσιμαχοῦντα τὸν

Γαληνὸν πρὸς Ἀριστοτέλην, ἀντέχεσθαι τοῦ παρεωραμένου σχήματος. Εἰ μὲν ἄλλῃ πῃ τοιούτῳ τινὶ ἐνέτυχον, εἰπάτωσαν· ἐν δὲ τῇ παρούσῃ Πραγματείᾳ καὶ πάνυ αἰδημόνως εἰσάγει τὰ ἑαυτοῦ, μηδὲν ἐφεξῆς τῆς βίβλου περὶ τούτου τι λέγων, ἑτέροις ἀφεὶς τὴν τούτου ἔγκρισιν.

Οὕτως οὖν, ὡς ἔφην προθεὶς τὴν Μείζονα, ἐν ᾗ φησιν,

Ἅπαν καλὸν, αἱρετόν ἐστι,

καὶ ὑποθέμενος ἐν τῇ Ἐλάττονι τὸν κατηγορούμενον σὺν τῷ ὑποκειμένῳ, κατειπὼν αὐτοῖν τὸ ἀγαθὸν, ὡς εἶναι ταύτην

Ἅπαν καλὸν αἱρετὸν, ἀγαθόν ἐστιν,

ἐπήγαγε τὸ συμπέρασμα, τὸ

Ἅπαν καλὸν αἱρετὸν, ἀγαθόν ἐστι.

Καὶ μὴ θαυμάσῃς, εἰ ὅλην τὴν Μείζονα ὑποκείμενον τῇ Ἐλάττονι πεποίηκε. πρὸς παράδειγμα γὰρ τῶν ὑποθετικῶν τὸ πρόσλημμα ἐτεχνάσατο, δεικνύων ἐκεῖνο μὲν ἀκατηγόρητον προσλαμβάνεσθαι, καὶ μόνορον οὕτως εἰπεῖν. ἐν δὲ τοῖς κατηγορικοῖς οὐδὲν τὸ κωλύον καὶ σύνορον εἶναι τὸ ὑποκείμενον τῆς Ἐλάττονος· ὃ καὶ προείρηκεν εἰπὼν, δυνατὸν δὲ καὶ πᾶν καλὸν ὁτιοῦν ἄλλο κατηγορήσαντα τῶν ὅρων. Πρὸς δὲ καὶ ἀναγκαία ὑπῆρχεν ἡ πρόσθεσις τοῦ καλοῦ ἐν τῇ Ἐλάττονι πρὸς τὸ ἀληθεστέραν ταύτην γενέσθαι· οὐδεὶς γὰρ αἱρεῖται τὸ κακὸν, ἀλλὰ συμβαίνει τὸ αἱρετὸν εἶναι μὲν καλὸν τῷ αἱρουμένῳ, μὴ εἶναι δ' ἑτέρῳ.

Ἀλλὰ μήποτε ὁ Χρύσιππος ὀρθότερον τοῦ Γαληνοῦ ἐπέστησε τοῖς Ὑποθετικοῖς, Πρώτους αὐτοὺς ὀνομάσας; Εἰ γὰρ τὰ πρῶτα τῶν συνθέτων ἁπλούστερα, ὃ καὶ Γαληνὸς βεβαιοῖ λέγων· οὐδεὶς γὰρ ἀμφισβητήσει τὸ μὴ οὐ πρότερον εἶναι τὸ ἁπλοῦν τοῦ συνθέτου. Οἶμαι τοὺς Ὑποθετικοὺς ἁπλουστέρους εἶναι, κατά γε τὸν σχηματισμὸν, τῶν κατηγορικῶν· οὐ μόνον διὰ τὸ μονολήμ-

ματον ἑνὸς τοῦ ἡγουμένου ἢ ἑπομένου πρὸς σύστασιν τῆς Ἐλάττονος, ἀλλὰ καὶ διὰ τὸ μηδενὸς προσδεῖσθαι, εἰς σχηματισμὸν τοῦ Συλλογισμοῦ, ἑτέρου τινὸς, ἅλις ἔχοντος τοῦ τὸν μὲν τῶν συνημμένων λαμβάνειν εἰς Ἐλάττονα, τὸν δὲ εἰς Συμπέρασμα. Καὶ τί τούτου ἁπλούστερον πρὸς τὸ συλλογίζεσθαι; Ἀλλὰ καὶ τὸ σύνολον οὐδεμία ἀνάγκη ζητήσεως μέσου ὅρου, οὗ καὶ κανόνων πρὸς εὕρεσιν ἐδέησε. Πῶς οὖν κατηγορητέος ὁ ἀνὴρ τούτου γ' ἕνεκα οὐκ οἶδα. Τοῦ Χρυσίππου μέντοι πολλοὶ καθήψαντο, καὶ Κλεάνθης, καὶ Ἐρατοσθένης, καὶ Ἐπίκτητος, καὶ πλεῖστοι ἄλλοι ἐν τῷ βίῳ αὐτοῦ τῷ παρὰ Λαερτίῳ τῷ Διογένει φέρονται· καὶ οὐ θαυμαστόν.

πρὸς γὰρ τοὺς κρείττους ὁ φθόνος ἕρπει,

ἐξ οὗ καὶ κακολογοῦνται· περὶ δέ γε τῶν Ὑποθετικῶν, ὅτι Πρώτους ἐκάλει, οὐδεὶς ἂν εἴποι τὸ μὴ ὀρθῶς, ἐξ ὧν εἴρηται.

Μετὰ δέγε τὸν προειρημένον Συλλογισμὸν ὁ Γαληνὸς καὶ δεύτερον τοῦ οἰκείου σχήματος ἐπιφέρει, λέγων. Οὕτω δὲ καὶ καθ' ἑτέρου τῶν ὅρων, τὸ καλὸν ἄλλων ὅρων τῶν ἐν τῇ Ἐλάττονι ὑπόθεσιν, οἷόν γ' ἐστὶ ποιήσασθαι Συλλογισμὸν, οἷον αὐτός·

Ἡ δικαιοσύνη καλόν ἐστι·
Τὸ καλὸν αἱρετόν ἐστι·

ἔνθα τὴν δικαιοσύνην λαβὼν ὑποκείμενον τῆς Μείζονος, καὶ κατηγορήσας αὐτῆς τὸ καλὸν, ὑπέθετο τοῦτο ἐν τῇ Ἐλάττονι. Παρέλιπε δ' ἑκὼν τὸ Συμπέρασμα· ὅπερ ἦν

Ἡ δικαιοσύνη αἱρετόν ἐστιν.

Ἡ δὲ Διδασκαλία, ἣν ποιεῖται τοῦ τοιούτου σχήματος, δηλοῦται διὰ τῶν εἰρημένων (σελ. 16). «Δυνατὸν δὲ καὶ πᾶν καλὸν ὁτιοῦν ἄλλο κατηγορήσαντα τῶν πρώτων, δηλονότι, κατὰ τῶν ἐν τῇ Μείζονι ὅρων, ὅπερ ἀνωτέρω πεποίηκε, κατηγορήσας τοῦ

αἱρετοῦ τὸ ἀγαθὸν, τοῦ ὄντος ἐν τῇ Μείζονι· περὶ δὲ τῆς Ἐλάττονος τά· οὕτω δὲ καὶ καθ' ἑτέρου τῶν ὅρων τὸ καλὸν ἄλλων ὅρων ὑπόθεσιν, οἷόν τ' ἐστι ποιήσασθαι Συλλογισμόν· τὸ δὲ, ὑπόθεσιν πρὸς τὸ ποιήσασθαι ἀνακτέον· ἀντὶ τοῦ εἰπεῖν, οἷόν ἐστιν ὑπόθεσιν (ἀντὶ τοῦ ὑποκείμενον) ποιήσασθαι καὶ Συλλογισμόν.

Καὶ ταῦτα μὲν περὶ τοῦ Δ' Σχήματος, μέχρι τοῦδε λόγῳ ψιλῷ ἀναγραφομένου τῷ Γαληνῷ, ἤδη δὲ καὶ ἐκ τῆς αὐτοῦ Διαλεκτικῆς. Καὶ χάρις τῷ ὑπουργῷ, Βιλλεμαίνει, ὡς ἔφην, καὶ πάλιν λέγω· τὸ καλὸν γὰρ ἀεὶ ἐπαινετὸν, καὶ εὖ ἔχει τὸ ἀεὶ ἐπᾴδεσθαι πρὸς εἰς τὰ καλὰ προτροπὴν τῶν κυβερνώντων· ὅτι ἡ φιλοσοφικὴ ἱστορία τινὸς ἐντεῦθεν προσηυπόρησεν. Εἰ δὲ καὶ ἀλλαχοῦ τῶν αὐτοῦ φιλοσοφικῶν ξυγγραμμάτων ὁ Γαληνὸς εἴρηκε πλατύτερον περὶ τοῦ Δ' Σχήματος, ἄδηλον ἡμῖν τοῖς ἐκεῖνα τὰ ξυγγράμματα μήπω ἐξευρημένοις· ἢν δὲ Θεὸς θέλῃ κἀκεῖνά που εὑρεθῆναί ποτε, οἱ τούτοις ἐντευξόμενοι, πλείω ἡμῶν ἐπιγνώσονται· ἡμῖν δὲ Ἱκανὰ τὰ εἰρημένα, καὶ ἐξευρημένα περὶ τούτου τοῦ Σχήματος, δι' ὧν πρὸς ταῖς προηγηθείσαις ἀποδείξεσι, προσκυροῦται αὐτῷ ἡ Διαλεκτικὴ, ἀποδεικνυμένη αὐτοῦ ἐκείνου, καὶ οὐχ ἑτέρου του εἶναι ξύγγραμμα.

Ταῦτά μοι περὶ τοῦ Γαληνείου Δ' Σχήματος ἀναγεγραφότι ἐν τῷ προηγηθέντι τετραδίῳ, ὃ ἔφθη ἐκ τῶν πιεστηρίων ἤδη τετυπωμένον ἀναληφθῆναι, εὕρηταί μοι ὃ κατὰ τὴν ἐμὴν περιήγησιν ἔφερον μικρὸν τευχίδιον, καὶ ἀπολωλὸς ἡγούμην, καὶ ἐν ᾧ περὶ τοῦδε τοῦ Σχήματος ἐσημειωσάμην τινὰ, εἰρημένα ὑπὸ παλαιοτέρων, ἢ ὧν ἀνωτέρω ἐμνήσθην λογικευομένων, καὶ ἐγκείμενα ἐν παλαιῷ Ἀντιγράφῳ, οὗ κἂν τοῖς ἐμοῖς Καταλόγοις μνείαν γίγνεσθαι καὶ ἀνωτέρω ἔφην, οὐ μικρὸν δὲ καὶ πρὸς τὸ προκείμενον συντείνοντα. Ἦν δὲ τὸ Ἀντίγραφον, Ὑπόμνημα ἀνεπίγραφον εἰς τὸ περὶ Ἑρμηνείας τοῦ Ἀριστοτέλους καὶ εἰς τὰ ἀναλυτικά. Ἡγούμενος οὖν μὴ μόνον ἀξυντελῆ, καὶ πρόσφορα δ' ἐσόμενα πρὸς πίστωσιν τοῦ τὸν Γαληνὸν εἶναι τοῦδε τοῦ Σχήματος εὑρετὴν, ἔγνων ἐνταῦθα ὑποσυνάψαι. Καὶ συγγνώμη, εἰ διὰ τὸ παρασυμβὰν τουτὶ ἀτύχημα εἰς παλιλλογίαν πως

άέκων κατέστην· εἰ γὰρ αὐτὸ εἶχον, ὅτε τὰ μικρὸν πρόσθεν ἔγραφον, ἄλλως ἂν ἐπεκεχειρήκειν πραγματεύσασθαι τὸ προκείμενον. Ὁ μὲν οὖν ἀνώνυμος ὑπομνηματιστὴς, διεξελθὼν, ἐν τοῖς εἰς τὰ Πρότερα Ἀναλυτικὰ ὑπομνήμασι, τὰ περὶ τῶν τριῶν Συλλογιστικῶν Σχημάτων, καὶ τῶν κατ᾽ αὐτὰ Συζυγιῶν, οὑτωσὶ περὶ τοῦ Δ′ τοῦ δε Σχήματος διέξεισιν ἐπαπορῶν καὶ ἐπιλυόμενος.

ΑΠΟΡΙΑ.

« Παρὰ ταῦτα μὲν οὖν ἕτερον Σχῆμα γενέσθαι Συλλογιστικὸν,
« ἀδύνατον ἔδοξε τῷ τε Ἀριστοτέλει καὶ τοῖς περὶ αὐτόν. Ἀδύ-
« νατον γὰρ καὶ ἄλλην τινα σχέσιν παρὰ τὰς εἰρημένας ἐν τρισὶν
« ὅροις τὸν μέσον ὅρον πρὸς τοὺς δύο συνταχθῆναι τοὺς ἄκρους.
« Θεόφραστος δὲ καὶ Εὔδημος, καί τινας ἑτέρας Συζυγίας παρὰ
« τὰς ἐκτεθείσας τῷ Ἀριστοτέλει, προστεθήκασι τῷ Πρώτῳ Σχή-
« ματι, [περὶ ὧν ἐν τοῖς μετὰ ταῦτα ἐροῦμεν]· ἃς καὶ τέταρτον
« ἀποτελεῖν Σχῆμα, τῶν νεωτέρων ᾠήθησάν τινες, ὡς πρὸς
« πατέρα τὴν δόξαν, τὸν Γαληνὸν ἀναφέροντες· λόγῳ δὲ πρὸς
« ἐμπέδωσιν ταύτης χρῶνται τοιῷδε· »

« Εἰ γάρ ἐστι κατ᾽ ἄλλην τινὰ σχέσιν παρὰ τὰς εἰρημένας
« τὸν μέσον πρὸς τοὺς ἄκρους συνταχθῆναι ὅρον, ἔσται καὶ
« ἄλλο παρὰ τὰ εἰρημένα Συλλογιστικὸν σχῆμα· »

« Ἀλλὰ μὴν τὸ πρῶτον·
- Ἄρα καὶ τὸ Δεύτερον.

« Δείκνυται ἡ Ἐλάττων· ἔστι γὰρ τὸν μέσον ὅρον Ἀντιστρό-
« φως τῷ Α′. Σχήματι κατηγορεῖσθαι μὲν τοῦ Μείζονος ἄκρου·
« ὑποκεῖσθαι δὲ τῷ Ἐλάττονι· οἷον

« Πᾶς ἄνθρωπος ζῷον·

« Πᾶν ζῷον ἐστὶν οὐσία·
« Τὶς ἄρα οὐσία ἐστὶν ἄνθρωπος·

« Μεῖζον μὲν ἄκρον ὁ ἄνθρωπος, ὅτι ἐν τῷ Συμπεράσματι « τυγχάνει κατηγορούμενον. Ἔλαττον δὲ ἡ οὐσία, ὅτι ἐν τῷ αὐτῷ « Συμπεράσματί ἐστιν ὑποκείμενον· ὧν τοῦ μὲν ἀνθρώπου « κατηγορεῖται τὸ ζῷον, ὅπερ ἐστὶ Μέσος ὅρος, τῇ δὲ οὐσίᾳ ὑπό-« κειται, Ἔλαττον ἄκρον οὔσῃ. »

Ταῦτα μὲν οὖν τὰ ἐπιχειρήματα τῶν προϊσταμένων τοῦ κατὰ Γαληνὸν Δʹ Σχήματος· δεικνύοντα τοῦτο συστατὸν διὰ τοῦ δύνασθαι τὸν Μέσον ὅρον καὶ τετάρτην μετάθεσιν λαμβάνειν· οἶμαι δὲ ἅλις ἡμῖν ἀνωτέρω ἀποδέδεικται τὸ κατὰ φύσιν εἶναι τὸ σχῆμα παντάπασιν· οἷς κἀκεῖνο προσκείσθω. Ὅτι τὸ σχῆμα καὶ χαρίεν τι φέρει, κλιμακηδὸν τοῦ Κατηγορουμένου εἰς ὑποκείμενον μεθισταμένου· οἷον·

Πᾶς ἄνθρωπος ζῷον·
Πᾶν ζῷον ἔμψυχον·
Τὶ ἔμψυχον ἄνθρωπος·

Ἔνθα προὔκειτο δεῖξαι, ὅτι ἔμψυχον ὁ ἄνθρωπος· ἢ καὶ οὕτω

Τὸ Α ἐν τῷ Β
Τὸ Β ἐν τῷ Γ
Τὶ τοῦ Γ τὸ Α.

Ἀλλὰ καὶ μετατεθέντος τοῦ Συμπεράσματος εἰς Μείζονα, καὶ ταύτης εἰς Ἐλάττονα, πάλιν τὸ Σχῆμα τοῦ

ΚΑΘ' ΥΠΟ

φυλαχθήσεται, μένον ὡς εἶχεν· οἷον,

Τὶ ἔμψυχον ἄνθρωπος·

Πᾶς ἄνθρωπος ζῷον·
Πᾶν ζῷον ἔμψυχον.

Ὁ δὲ ὑπομνηματιστὴς πρὸς ταῦτα ἀπαντᾷ οὕτως.

ΑΠΑΝΤΗΣΙΣ.

« Ἔχει μέν τοι ἀνελλειπῶς τὰ ἐκτεθέντα τῷ φιλοσόφῳ σχή-
« ματα, ὡς καὶ τοῖς γνησίοις αὐτοῦ θιασώταις δοκεῖ· εἰ γάρ τις
« ἐπισταίη τοῖς τῶν ἀντικειμένων λόγοις, οὐ τὴν διάφορον τοῦ
« Μέσου πρὸς τοὺς ἄκρους σχέσιν εὑρήσει ποιοῦσαν τὴν ἐν τοῖς
« τοιούτοις Συλλογισμοῖς διαφορὰν, ἀλλὰ τὴν μετάταξιν τῶν
« Προτάσεων, καὶ τὴν ἀντεστραμμένην τοῦ Συμπεράσματος
« συναγωγήν. Τὸ Ἔλαττον ἄκρον τοῦ Μείζονος κατηγοροῦσαν·
« τὰ γὰρ λοιπὰ οἱ αὐτοί εἰσι τοῖς ἐν τῷ Δ΄ Σχήματι Συλλογι-
« σμοῖς.

Προστίθησι δὲ καὶ τὰ ἑξῆς πλατύτερον τὸ αὐτὸ λέγοντα.

« Ἡ ἐν τοῖς τοιούτοις Συλλογισμοῖς διαφορὰ, οὐ τὴν διάφο-
« ρον σχέσιν τοῦ Μέσου ὅρου πρὸς τοὺς ἄκρους ποιεῖ, ἀλλὰ τὴν
« μεταξὺ τῶν Προτάσεων καὶ τὴν ἀντεστραμμένην τοῦ Συμ-
« περάσματος συναγωγὴν, ἅτε τὸ Ἔλαττον ἄκρον τοῦ Μείζονος
« κατηγοροῦσα, ἤτοι τὸν ἄνθρωπον, κατὰ τῆς οὐσίας· ὃν γὰρ
« ἀνωτέρω ἐξέθεντο Συλλογισμὸν, οὐ δὲν τοῦ ἐν Α΄ Σχήματι δια-
« φέρει, ἔχει δ᾽ ὅμως τὴν τῶν Προτάσεων τάξιν ἐνηλλαγμένην.
« ἔδει γὰρ αὐτοὺς τὴν οὐσίαν ἐπὶ πλέον οὖσαν τοῦ ἀνθρώπου
« Μεῖζον ἄκρον ποιεῖν, τὸν δὲ ἄνθρωπον Ἔλαττον τιθέναι ἄκρον,
« καὶ εἰπεῖν οἷον,

Πᾶν ζῷον οὐσία·
Πᾶς ἄνθρωπος ζῷον,
Πᾶς ἄνθρωπος οὐσία.

« Αὐτοὶ δὲ τὴν τάξιν ταύτην μετέθεσαν, καὶ τὸν ὑγιῆ Συλλογισμὸν,
« ἀσυλλογίστως συνελλογίσαντο, καὶ ἀπαιτοῦντα ἀεὶ τὰ ἐπὶ
« πλέον μείζονα γενέσθαι ὅρον, καὶ ἐν τῷ Συμπεράσματι κατη-
« γορεῖσθαι, ὡς ἡμεῖς ὑγιῶς ἐσχηματίσαμεν.

Ταῦτα μὲν οὖν δηλοῖ οὐ μικρὸν διενεχθῆναι τοὺς μετὰ Γαληνὸν Λογικευομένους Περιπατητικούς τε καὶ Γαληνικούς. Τὰ μέν τοι τῆς Ἐνστάσεως τῶν Περιπατητικῶν ἐπιχειρήματι βέβηκε τῷ, ὅτι μετάταξις τῶν Προτάσεων τοῦ Πρώτου Σχήματός ἐστι, καὶ οὐχ ἕτερον Σχῆμά ἐστι· καὶ τῷ ἀνελλειπῶς ἔχειν τὰ ἐκτεθέντα ὑπὸ τοῦ φιλοσόφου· φησὶ δ' Ἀριστοτέλης ἐν τῷ Προτέρῳ τῶν Ἀναλυτικῶν οὕτως·

« Εἰ οὖν ἀνάγκη λαβεῖν πρὸς ἄμφω κοινόν. Τοῦτο ἐνδέχεται
« τριχῶς· εἰ γὰρ τὸ α τοῦ γ, καὶ τὸ γ τοῦ β κατηγορήσαντες, ἢ
« τὸ γ κατ' ἀμφοῖν, ἢ ἄμφω κατὰ τοῦ Γ. Ταῦτα δ' ἐστὶ τὰ εἰρη-
« μένα Σχήματα, φανερὸν ὅτι πάντα Συλλογισμὸν ἀνάγκη γίνε-
« σθαι διὰ τούτων τινὸς τῶν σχημάτων.

Καὶ κατωτέρω δὲ πάλιν φησί·

« Φανερὸν οὖν ἐκ τῶν εἰρημένων, ὅτι οὐ μόνον ἐγχωρεῖ διὰ ταύ-
« της τῆς μεθόδου γίνεσθαι πάντας τοὺς Συλλογισμοὺς, ἀλλὰ καὶ
« ὅτι δι' ἄλλης ἀδύνατον. ἅπας μὲν γὰρ Συλλογισμὸς δέδεικται
« διά τινος τῶν προειρημένων Σχημάτων γινόμενος.

Διατάξωμεν δὲ καὶ Τρισχημάτως τὸ παράδειγμα πρὸς δήλωσιν τῶν τριῶν Σχημάτων· οἷον

τὸ γ ἐστὶν α τὸ β ἐστὶ γ	καθ' ὑπὸ·
τὸ α ἐστὶ γ τὸ β ἐστὶ γ	δὶς κατὰ·
τὸ γ ἐστὶν α τὸ γ ἐστὶ β	δὶς ὑπὸ·

Ὅτι μὲν τὰ Σχήματά ἐστι ταῦτα κατ' Ἀριστοτέλην, δῆλον. Τὰ δὲ γράμματα τὸ α καὶ β ἕνεκα παραδείγματος μόνον τέθειται. Ἢν γὰρ λάβωμεν τρεῖς ὅρους σημαντικοὺς ἀντὶ τῶν α, β, γ, ἀδύνατον προσαρμόσαι τούτους τῷ Τριττῷ τῶν Σχημάτων· ἔστωσαν δὲ μόνον παραδείγματος ἕνεκα.

Ἀλλ' ἡμεῖς ἀρκεσθησόμεθα ἀποδεῖξαι τὴν τετάρτην μετάθεσιν τοῦ Μέσου ἀναγκαίαν, καὶ ἐξ αὐτῶν μάλιστα, ὧν συνελλογίσατο Ἀριστοτέλης πρὸς ἀπόδειξιν τοῦ τρισχημάτου τῶν κατηγορικῶν Συλλογισμῶν· τὰ γὰρ ἀνωτέρω ἐκ τῶν Ἀναλυτικῶν εἰσενηνεγμένα οὕτω περαίνει κατὰ τὸ Δʹ σχῆμα.

<table>
<tr><td>Οἱ κατηγορικοὶ Συλλογισμοὶ ἐξ ἀνάγκης εἰσίν,
ἢ τὸ α κατὰ γ,
καὶ τὸ γ κατὰ β·
ἢ τὸ γ κατ' ἀμφοῖν·
ἢ ἄμφω κατὰ γ.</td><td>ἡ Μείζων.</td></tr>
<tr><td>Ἀλλὰ μὴν τὸ α κατὰ γ καὶ τὸ β κατὰ γ ποιεῖ τὸ Α·
τὸ δὲ γ κατ' ἀμφοῖν ποιεῖ τὸ Β·
τὸ δὲ ἄμφω κατὰ γ ποιεῖ τὸ Γ.</td><td>ἡ Ἐλάττων.</td></tr>
<tr><td>Ἄρα οἱ κατηγορικοὶ Συλλογισμοὶ ἐξ ἀνάγκης
εἰσὶ Τρισχήματοι·</td><td>Συμπέρασμα.</td></tr>
</table>

ἢ καὶ ἁπλουστέρως· οἷον,

οἱ κατηγορικοὶ Συλλογισμοὶ ἐν τριπλῇ τοῦ ὅρου μεταθέσει,
ἡ δὲ τριπλῆ μετάθεσις ποιεῖ τὰ τρία σχήματα·
μόνα ἄρα τὰ τρία Σχήματα ποιεῖ τοὺς κατηγορικοὺς Συλλογισμούς.

Οὕτω κατὰ φύσιν ἐστὶ τὸ Συλλογίζεσθαι κατὰ τὸ Δʹ Σχῆμα· καὶ οὐ μόνον ἐνταῦθα, ἀλλὰ καὶ πλεισταχοῦ ὁ Ἀριστοτέλης τοῦτο ποιεῖ. Καὶ πάντες σχεδὸν ἀποδεικτικῶς λέγοντες, οὕτω ποιοῦμεν, καί τοι τὸ συμπέρασμα πλεισταχοῦ παραλιμπάνομεν, ὡς ἐξ ἀνάγκης συμβαῖνον διὰ τὰς Προκειμένας, καὶ ὡς συννοούμενον, καί περ μὴ

λεκτὸν· οἷον κἀντῷ β´ τῶν μετὰ τὰ φυσικὰ ὁ αὐτὸς Ἀριστοτέλης ποιεῖ· οἷον,

« Ἀνάγκη πρὸς τὴν ἐπιζητουμένην ἐπιστήμην ἐπελθεῖν ἡμᾶς
« πρῶτον, περὶ ὧν ἀπορῆσαι δεῖ πρῶτον· ταῦτα δ' ἐστὶν ὅσα
« περὶ αὐτῶν ἄλλως ὑπειλήφασί τινες, κἂν εἴτι χωρὶς τούτων
« τυγχάνοι πρῶτον παρεωραμένον· ἔστι δὲ τοῖς εὐπορῆσαι βου-
« λομένοις προὔργου τὸ διαπορῆσαι καλῶς. Ἡ γὰρ ὕστερον
« εὐπορία, λύσις τῶν πρότερον ἀπορουμένων ἐστί· λύειν δ'
« οὐκ ἔστιν ἀγνοοῦντα τὸν δεσμόν· ἀλλ' ἡ τῆς διανοίας ἀπορία
« δηλοῖ τοῦτο περὶ τοῦ πράγματος· ᾗ γὰρ ἀπορεῖ, παραπλήσιον
« πέπονθε τοῖς δεδεμένοις· ἀδύνατον γὰρ ἀμφοτέρως προελθεῖν
« εἰς τὸ ἔμπροσθεν. Διὸ δεῖ τὰς δυσχερείας πάσας τεθεωρηκέναι
« πρότερον.

Περιαιρεθέντων οὖν τῶν παραδειγμάτων καί τινων κατασκευῶν, κατάδηλον ἔσται, ὅτι ὁ Ἀριστοτέλης κατὰ τὸν τετράσχημον Συλλογισμὸν περαίνει τὸν λόγον· οἷον,

« Ἀνάγκη ἐπελθεῖν πρῶτον τὰ διαπορούμενα·
« τὰ δὲ διαπορούμενά ἐστι τὰ ἄλλως παρ' ἄλλοις ὑπολαμβανόμενα·
« ταῦτα δεῖ ἐπελθεῖν πρὸς τὸ εὐπορῆσαι.

Καὶ πάλιν εὐθύς·

« τὸ εὐπορεῖν ἐστι λύειν τὰ ἀπορούμενα,
« τὸ δὲ λύειν τὰ ἀπορούμενά ἐστι γνῶναι τὰς δυσχερείας τοῦ
« δεσμοῦ·
« τὸ δὲ γνῶναι τὰς τούτου δυσχερείας ποδηγετεῖ εἰς τὸ εὐπορεῖν·

Οὐδ' Ἀριστοτέλης αὐτὸς, οἶμαι, ἔξαρνος ἂν γένοιτο μὴ οὕτως ἐνταῦθα συλλελογίσθαι· καὶ πρόδηλον, ὅτι τὸ Σχῆμα καὶ κατὰ φύσιν, καὶ ἀναγκαῖον, καὶ τῶν ἄλλων τριῶν ἀρχικώτερον. Καὶ χάρις μεγίστη μὲν τῷ Ἀριστοτέλει, ὅτι τὴν Συλλογιστικὴν μέθοδον, ἐπιστήμην

διδακτὴν κατέστησεν, οὐκ ἀπόβλητον δὲ καὶ τὸ τοῦ Γαληνοῦ, ᾧ καὶ δεῖ εὐγνωμονεῖν ἐπὶ τῇ προσθέσει τοῦ ἐλλείποντος· τὸ δὲ πρὸς Ἀριστοτέλην ἀντιλέγειν, εἴτῳ δοκεῖ τολμηρὸν, ἴστω, ὅτι αὐτὸς ἐκεῖνος ἡμᾶς ἐδίδαξεν, ἐπειπὼν τὸ,

Φίλος μὲν Πλάτων, φιλτάτη δ' ἡ ἀλήθεια.

Εἰ δ' ἀληθῶς ἀντείπομεν, ἐλεγξάτωσαν καὶ οἱ νῦν φιλοσοφοῦντες Ἑλληνίζοντες, καὶ οἱ μετέπειτα. Ὅμως δὲ οὐδεὶς ἂν ἔχοι ἀντειπεῖν μὴ κατὰ τὸ Σχῆμα ὡς τὰ πολλὰ ἐκ τῶν καθ' ἕκαστα ἐπὶ τὰ γενικώτερα χωροῦντες μανθάνομεν, καὶ ὅτι τὸ Συλλογίζεσθαι οὕτω τὰ πρὸς μάθησιν, ἀρχὴ συστάσεως ἐγένετο καὶ τεχνῶν καὶ ἐπιστημῶν, ὡς καὶ πρότερον ἡμῖν δέδεικται· Οὕτω γὰρ οἱ πάλαι ἐξ αὐτοσχεδίου ἐπαναληφθείσης ἐμπειρίας, τὰς τέχνας ἐκανόνισαν· οἷον ἐν Ἰατρικῇ, ὅπερ περὶ τῆς Δαμαλισμοῦ χθιζὰ καὶ πρώϊζα συνέβη, ὅτι τὸν παῖδα φέρε τοῦτον Δαμαλισμὸς ἔσωσεν· ἔπειτα τὸν δεῖνα, καὶ τὸν δεῖνα κτλ. Συνεπεράνθη δὴ τελευταῖον ὁμοίου ὄντος τοῦ πάθους, τὸ αὐτὸ ἀντίδοτον ἀπαλλάττει τοὺς κάμνοντας, τοῦ λόγου βεβαιώσαντος τὴν ἐπιστήμην. Καὶ οὐκ ὀρθῶς λέγομεν, ὅτι ἐξευρημένων τῶν καθόλου ἅλις ἔχει συλλογίζεσθαι ἐκ τοῦ κατὰ παντὸς, ὅτι ἀεὶ ὁ νοῦς προσεξευρίσκει πρὸς τὸ ἐν παντὶ χωρῶν, διακρίνων, καὶ συγκρίνων τὰ ἀνόμοια, καὶ συντιθεὶς τὰ ὅμοια. Καὶ αὕτη κατὰ φύσιν ἔχει αὐτῷ ἡ πρόοδος· καὶ κατά γε τοῦτο τὸ Σχῆμα καὶ ὁ τοῦ λεγομένου Σωρείτου Συλλογισμὸς ὑφαίνεται, κατὰ τὸ ἐν τῷ Πλουτάρχῳ (1) τῆς Ἀλώπεκος·

τὸ ψοφοῦν κινεῖται·
τὸ κινούμενον οὐ πέπηγε
τὸ μὴ πεπηγὸς ὑγρὸν

Ἀλλὰ καὶ οἱ πάλαι διαλεγόμενοι πολλάκις τῷ Σχήματι ἐκέχρηντο,

(1) Πλούτ. ἐν τῷ πότερα τῶν ζώων φρονιμώτερα.

καὶ ἐπιλήψει ὁ χρόνος ἡμᾶς παραδείγματα φέροντας καὶ φιλοσόφων καὶ ῥητόρων, ἀρκεσθέντας τοῖς ὑπ' αὐτοῦ τοῦ Ἀριστοτέλους. Καί τοι καὶ σπανιώτατα ἧκον ἂν εἰς χρῆσιν τὸ Σχῆμα, οὐκ ἔδει παραμεληθῆναι τοῖς Λογικευομένοις, δέον τοὺς τῆς Διαλεκτικῆς κανόνας τὸ πλῆρες πανταχόθεν ἔχειν (1).

Ἀλλὰ τὰ προεκτεθειμένα μικρὸν πρόσθεν τοῦ Ἀριστοτελικοῦ ὑπομνηματιστοῦ, ὅπως ἂν ἔχῃ, εὖτε ἢ καὶ χεῖρον λελεγμένα, τά τε παρ' αὐτοῦ καὶ τὰ παρ' ἡμῶν, ὅμως ἐκ περιουσίας δείκνυσι τοῦ Γαληνοῦ εἶναι τὴν παροῦσαν Εἰσαγωγὴν Διαλεκτικήν.

Συνέγραψε δὲ, ὡς αὐτός φησιν ἐν τῇδε τῇ πραγματείᾳ, φιλοσοφικὰ, ἤτοι Διαλεκτικὰ βιβλία.

α´, περὶ ἰσοδυναμούτων προτάσεων, ὥς φησιν ἐν σελ. 23.

β´, ὑπόμνημα περὶ Ἀποδείξεως. σελ. 24.

γ´, παραλελειμμένα ὑπὸ τοῦ Ἀριστοτέλους, ἤτοι ὑπόμνημα εἰς τὰς δέκα κατηγορίας. σελ. 30.

Ἐκ δὲ τοῦ ὑπομνήματος τούτου νομίζω τὸν Φώτιον οὐκ ὀλίγον ὠφεληθῆναι ἐν τῷ περὶ κατηγοριῶν αὐτοῦ βιβλίῳ.

δ´, περὶ τοῦ φάναι· μνησθεὶς δὲ τούτου ἐν τῇ παρούσῃ Εἰσαγωγῇ, οὐδὲν ἔφη περὶ τοῦ, ὅτι εἴη κυρίως τὸ ὑποκείμενον.

Ἀλλὰ τὰ μὲν ἀνωτέρω μνημονευθέντα αὐτοῦ βιβλία τέτταρα τό, τε περὶ Ὀστέων τοῖς εἰσαγωμένοις, καὶ τὸ περὶ Καταπλασμάτων, καὶ τὸ περὶ Λεπτυνούσης διαίτης, καθὰ δὴ καὶ ὁ πρὸς Γαῦρον περὶ ψυχῶν τῶν ἐμβρύων, ῥάδιον τυχὸν καὶ ἀντιγραφῆναι καὶ δημοσιευθῆναι. Τῶν δὲ προειρημένων καὶ τῶν ἄλλων φιλοσοφικῶν αὐτοῦ πραγματειῶν, ὅσα ἀναφέρεται ἐν τοῖς ἐκδεδομένοις, ἐν οἷς, καὶ τὰ τρία ἅπερ προὐθέμην, πλὴν τῆς Διαλεκτικῆς καὶ τοῦ δ´, ἐμπεριέχεται· ἀλλ' ἀτελὴς ὁ κατάλογος οὗτος (2)· τούτων φημὶ ἡ εὕρεσις

(1) Ὅρα κατωτέρω ἐν ταῖς Παρεκβολαῖς καὶ ἕτερα Παραδείγματα τοῦδε τοῦ τετρασχήμου Συλλογισμοῦ.

(2) Λέγει δὲ περὶ τῶν ὑπομνημάτων τῶν περὶ Ἀποδείξεως κἀν τῷ τετάρτῳ περὶ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως.

Ἐν θεῶν, φασὶ, γούνασι κεῖται.

Ἀλλ' ὅμως οὐκ ἀπελπιστέα· οὐδὲ γὰρ ἠλπίζετο τὰ διὰ τῆς ἐμῆς ἀποστολῆς ἐξευρημένα, εὕρηταί γε μὴν, τὸν ἀριθμὸν ὄντα ἓξ μετὰ τῆς παρούσης Εἰσαγωγῆς, καὶ τῶν Εὐπορίστων αὐτοῦ λεγομένων.

ΠΕΡΙ ΤΩΝ ΕΥΠΟΡΙΣΤΩΝ ΤΟΥ ΓΑΛΗΝΟΥ.

Λέξω δέ τι καὶ περὶ ταύτης τῆς πραγματείας, ἵνα φανερὸν γένηται εἴτε ἀληθῶς τοῦ Γαληνοῦ ἐστιν, εἴτε καὶ ψευδεπίγραφος, ὅμως δὲ φέρουσα ἐπιγραφὴν Εὐπόριστα Γαληνοῦ, ᾗ προσετέθη ἔπειτα, οἶμαι, τὸ ἰατρικά. Ἐν γὰρ τῇ πρὸς τὸν ὑπουργὸν Βιλλεμαίνην ἐκθέσει, τῇ δημοσιευθείσῃ ἐν τῷ Μονίτορι κατὰ τὸν παρελθόντα Ἰαννουάριον, τοῦ ἀποτελέσματος τῆς ἐμῆς ἀποστολῆς, ἐσπευσμένως πως διείλεγμαι· Ὅτι μὲν οὖν ὑπὸ χειρὸς ἀμαθοῦς ἀντεγράφη, δῆλον τῷ ἀναγινώσκοντι, κἂν μὴ πάνυ εὖ ἥκῃ ἑλληνικῆς παιδείας. Ἀλλὰ καὶ ὁ τελευταῖος ἀντιγράψας ταύτην ἐν τῷ ρκγ' φησὶ τάδ' ἐπὶ λέξεως.

« Ἰατρός τις ἀγράμματος, καὶ ἀπαίδευτος ὁ γράψας τὸ ἀντί-
« γραφον τοῦ παρόντος βιβλίου, λέγει κατὰ λέξιν τάδε. »

Διά τοι τοῦτο, καὶ λέξεις οὐκ ὀλίγαι εἰς τὸ χυδαϊκώτερον πρὸς τῷ μὴ ὀρθογραφῆναι, μετεποιήθησαν· καὶ πέπονθε τὸ λεκτικὸν τοῦ συγγράψαντος τὴν βίβλον, οἷόν τι τὰ Ἱπποκρατικὰ περὶ τὸ Ἰωνικὸν Ἰδίωμα. Ὅτι δὲ αὕτη τοῦ αὐτοῦ πατρός ἐστι γέννημα, δείκνυται ἐκ τῶν ἐν τῷ προοιμίῳ, ἐν οἷς φησιν ἀποφαινόμενος, τὴν Ἰατρικὴν

« Ἐπὶ πάντας ἀνθρώπους διήκουσαν, καὶ μέχρις ἀγροικίας
« καὶ ἐρήμους τόπους φθάνουσαν ὁρῶν τῇ δυνάμει, ἐλλείπουσαν
« δὲ τῇ ἐνεργείᾳ διὰ τὸ ἀτημέλητον (1) τῆς περὶ αὐτὴν φιλο-

(1) Ἐγράφετο, ἀμεταμέλητον.

« τιμίας, δίκαιον ᾠήθην τὴν δύναμιν εἰσενέγκασθαι, ἐπικουρίαν « τοῖς ἐν ὁδοῖς μάλιστα, καὶ κατ' ὄρη, ἢ κατά τινας ἐρήμους « τόπους ἐνδιατρίβουσιν... »

Ἐν δὲ τῷ ργ' κεφ. πάλιν φησὶν ἀρχόμενος·

« Ὁ περὶ τῶν Ἀντιδότων, καὶ Ἐλαίων, καὶ Ἐμπλάστρων « λόγος δυσκατάληπτος ὢν τοῖς πολλοῖς, ὅμως μετρίως ἐν τῷ « παρόντι συγγράμματι ἀναγέγραπται, ὠφελίμῳ τυγχάνοντι, οὐ « μόνον ὁδοιπόρῳ, ἀλλὰ καὶ ἀλλαχόσε διάγοντι... »

Ἆρ' οὖν ταῦτα οὐ τῆς αὐτῆς φρενὸς εἰσιν ὠδῖνες καὶ ἀποκυήματα; Πάλιν ἐν τῷ προοιμίῳ, προανακρούσας, περὶ ὧν μέλει λέγειν,

« Ὡς ἐπὶ συνάγχης, καὶ δηλητηρίων φαρμάκων, καὶ τῶν Ἰο- « βόλων, αἱμοῤῥαγίας τε, καὶ χολέρας... »

Ἅπερ ὑπέσχετο ἐν τοῖς ἑξῆς ἀπέδωκε· περὶ μὲν τῆς αἱμοῤῥαγίας καὶ ἀλλαχόσε καὶ ἐν τῷ περὶ αἱμοπτυϊκῶν, λζ' κεφ. καὶ ἐν τῷ περὶ κύστεως μζ' κεφ. περὶ δὲ τῶν δηλητηρίων καὶ Ἰοβόλων ἐν τῷ ργ' κεφ. ἔνθα τὴν δύναμιν τῆς θηριακῆς ἀναγράφει. περὶ δὲ χολέρας ἐν τῷ κδ' κεφ.

Φησὶ πάλιν ἐν τῷ προοιμίῳ, ὅτι ἄρξεται ἀπὸ τῆς κεφαλῆς· ἀλλ' οὕτως ἐποίησε, ὑποκαταβαίνων σὺν τοῖς τοῦ σώματος νοσήμασιν ἄχρι ποδάγρας, δακτύλων καὶ ὀνύχων. Ἅπαντα ταῦτα δηλοῖ τοῦ αὐτοῦ πατρὸς τοκετὸν εἶναι τὴν Πραγματείαν. Λείπεται οὖν εἰδέναι, εἴ γε τοῦ Γαληνοῦ ἐστὶν, ἢ ἑτέρου τινός· ὥς γε ἀπὸ τοῦ λεκτικοῦ χαρακτῆρος τεκμήρασθαι, καίτοι κακογραφεὶς, ὅμως Γαλήνειος φαίνεται, καὶ μαρτυροῦσί μοι αἱ ἀνωτέρω περικοπαὶ, ἐκ τοῦ προοιμίου παρειλημμέναι. Ἀλλ' ὅμως πλὴν τοῦ π' κεφ. ὅπερ ὁ ἀντιγράψας ἐκ τῶν τοῦ Γαληνοῦ λαβὼν ἔγραψεν, ἴσως καὶ ἄλλων τινῶν εὐαρίθμων, διαμένει ὁ αὐτὸς ἄχρι τοῦ ργ' κεφ. ἤγουν μετὰ τὴν σκευασίαν τῆς θηριακῆς, ἣν φησιν αὐτὸς ἐξευρεῖν. Λέγει δὲ περὶ αὐτῆς καὶ ἐν τῷ περὶ Ἀντιδότων· μεθ' ἣν παρενέγραψέ τις στίχους τοὺς λεγομένους

Πολιτικοὺς, κατά γε τὸν Εὐστάθιον τὸν σχολιαστὴν τοῦ Ὁμήρου, οὓς οἶμαι τοῦ Τζέτζου εἶναι, ἔχοντας οὕτω·

« Ἐνταῦθά σοι ἐγράφησαν εἴδη πολλὰ καὶ πλεῖστα·
« Σὺ οὖν ὁ βλέπων πρὸς αὐτὰ, μηδόλως δειλιάσῃς,
« Καὶ εἴπῃς, ποῦ εὑρήσομεν τοιαῦτα καὶ τοσαῦτα.
« Οὐ γὰρ ἅπαντα χρὴ βαλεῖν· ἀλλ' ὅσα τῶν τοιούτων,
« Εὑρήσεις εὐχερέστατα καὶ πρόχειρά σοι λέγει.
« Βάλε τοίνυν οἶνον καλὸν μετὰ τῶν ἡδυσμάτων
« Καὶ μίαν νύκτα ἔασον τοῦτον, εἶτα τὸ μέλι
« Μίξον ὡς πρέπει ἀρκετῶς τῇ τέχνῃ τῆς μεθόδου,
« Καὶ ποίησον Ἀντίδοτον πρὸς πᾶσαν ἀῤῥωστίαν. »

Τὰ μὲν μέχρι τέλους φημὶ τῆς θηριακῆς κατασκευῆς τὸν λεκτικὸν χαρακτῆρα τοῦ Γαληνοῦ παρεμφαίνει· τὰ δὲ λοιπά εἰσιν ἄθροισμα ἐκ διαφόρων· ὧν πάλιν τινὰ μὲν τοῦ Γαληνοῦ· οἷον τὸ ρμζ' κεφ. ἐν ᾧ οὕτως ἄρχεται.

« Ἐδόθη δὲ ἡμῖν ἐν τῷ μεγάλῳ τούτῳ λοιμῷ, καὶ ἄλλη τις ἐξ « Ἀρμενίας τῆς ὁμόρου Καππαδοκίας, γῆ ξηραντικωτάτη τὴν « δύναμιν, τὴν χρόαν ὠχρὰν· λίθον δὲ αὐτὴν ὀνομάζει ὁ δοὺς... »

Τινὰ δὲ, ἐκ τῶν Παύλου Αἰγινήτου, ὅς γε πολλὰ τῶν τοῦ Γαληνοῦ παρέλαβεν εἰς τὸ οἰκεῖον Σύγγραμμα.

Τοῦ δὲ ρδ' κεφαλαίου τὸ περὶ τὰς ἀρχὰς πλέον τοῦ ἡμίσεος εὑρίσκεται κἀν τοῖς τοῦ Παύλου Αἰγινήτου βιβλ. ζ' σελ. 266.

Ἡ δὲ σκευὴ τῆς θηριακῆς Ἀντιδότου, ἡ ἐν τῇ αὐτῇ σελ. τοῦ Αἰγινήτου, παρείληπται ἐκ τῆς τοῦ Γαληνοῦ, καίτοι μεταπεπλασμένη.

Τὸ μὲν οὖν διαλαβεῖν περὶ πάντων τῶν ἐν αὐτῷ Ἀντιδότων, παραβάλλοντας ταῦτα πρός τε τοῦ Ἀετίου καὶ τῶν τοῦ Παύλου Αἰγινήτου, ἰδιαιτέρας πραγματείας ἐστὶν ἔργον. Παραθεὶς μέντοι τὸ περὶ Ἐλεφαντιάσεως κεφάλαιον πρὸς τὰ περὶ τούτου εἰρημένα Παύλῳ τῷ Αἰγινήτῃ, καὶ Ἀρεταίῳ τῷ Καππαδόκῃ, οὐ μικρὰν τὴν παραλλαγὴν

εὗρον· καίτοι ἐκ πρώτης ἐποπτείας ᾠήθην ἰδεῖν, ἐν τῇ τοῦ Γαληνοῦ τῇδε πραγματείᾳ, τὰ τοῦ Ἀρεταίου ἐκ τοῦ Ἰωνικοῦ εἰς τὸ Ἀττικὸν μετενεχθέντα ἰδίωμα. Ἀλλὰ πάλαι καλῶς ἐκμελετήσας τὰ τοῦδε τοῦ Ἀνδρὸς, οὗ τὰ ἐκδοθέντα παρέβαλον πρὸς ἅπαντα τὰ ἐν τῇ βασιλικῇ βιβλιοθήκῃ ἀντίγραφα, διὰ τὴν μετάφρασιν ἣν ἐποιούμεθα εἰς τὸ Γαλλικὸν μετὰ τοῦ γραμματέως τῆς Ἰατρικῆς Ἀκαδημίας καὶ φίλου μοι Παριζέως, ἔγνων αὐτίκα ἐκ τοῦ πραγματικοῦ μὴ εἶναι τὰ τούτου, ἀλλὰ τοῦ Γαληνοῦ· Οὗ γε πρὸς τοῖς ἄλλοις ὁ χαρακτὴρ ἔχει τι καὶ ἀξιωματικὸν, ὡς ἀσφαλοῦς περὶ ἃ διδάσκει, καὶ τούτων ἐκτελουμένων ὡς διακελεύεται, τῆς ὑγείας τοὺς κάμνοντας ἐπιτεύξεσθαι· ἐφ' ᾧ καὶ ὁ ἐκ Καππαδοκίας Ἀρεταῖος σύγχρονος σχεδὸν ὢν, αὐτοῦ κατειρωνεύσατο ἐν τῷ περὶ Ἐλεφαντιάσεως, εἰπόντος οὐ μυθικῶς, ἀλλὰ βεβαιωτικῶς, ἐλεφαντιῶντά τινα, τοῦ πάθους ἐν ἀκμῇ καθεστηκότος ἀπαλλαγῆναι, ἔχιν ἐν γλεύκει πεπνιγμένην κατεδηδοκότα, καὶ πεπωκότα τὸ γλεῦκος ἅπαν· ἐξ οὗ καὶ καρωθέντα μὲν καταδαρθῆναι οὐ μικρὸν· ἀναστάντα δὲ ᾐσθῆσθαι ἑαυτοῦ ἐπὶ τὸ κρεῖττον μεταβαλομένου, ὥστε καὶ τὸ ὀχθῶδες τῶν πρὸς ἅπαν τὸ σῶμα ἑλκῶν καταπεσεῖν, καὶ τὸ δέρμα λεῖον γενέσθαι, καὶ τρίχας ἀναφυῆναι· ἁπλῶς δ' εἰπεῖν, ἀνακαινισθῆναι τὴν τοῦ πάσχοντος νεότητα, ὡς τὴν τοῦ ἀετοῦ οἱ πάλαι ἀπεφαίνοντο· πρὸς ἃ ὁ Ἀρεταῖος ἀπαντῶν, φησὶ,

« Τὴν φύσιν δὲ ἐπὶ τῷ ἐόντι Ζωπύρῳ ἀνανεῶσαι
« Τὸν ἄνθρωπον, οὐκ ἄπιστον ἐς τέρατος ἰδέην·

Παραθεὶς δὲ καὶ τὸ περὶ αἱμοπτυσίας κεφάλαιον πρὸς τὰ ἐν τῷ ε' βιβλίῳ τῆς ἐκδεδομένης Θεραπευτικῆς μεθόδου τοῦ Γαληνοῦ, οὐ πολὺ τὸ διαλλάττον τοῦ ἐμοῦ Ἀντιγράφου εὗρον. Ἐν μὲν γὰρ ἐκείνῃ οὕτω φησίν·

« Ὅσοι δὲ μέγιστον ἢ ὀξύτατον βοήσαντες, ἔρρηξαν ἀγγεῖον
« ἐν πνεύμονι... καὶ ὅσοι βαρὺν ὄγκον σώματος ἢ τοῖς ὤμοις
« ἀναθέσθαι προὐθυμήθησαν· ἔτι δὲ μᾶλλον ὅσοι διὰ δρόμον
« ὠκὺν, ἢ πηδήσαντες μέγιστα... εἰ δὲ ὑπὸ πλήθους...

« Γένοιτο δ' ἂν ποτε καὶ δι' ἀναστόμωσιν ἀγγείων μικρῶν...
« Ὁ μὲν οὖν χιτὼν διαιρεῖται, ῥηγνύμενος καὶ τιτρωσκόμενος,
« καὶ διαβιβρωσκόμενος... ὑπὲρ τῶν ἐν ἀρτηρίᾳ, καὶ φλεβὶ,
« καὶ νεύρῳ... ὅσα δὲ ἱκανῶς ὑγρὰ τῶν ἐν τῷ στόματι ἑλκῶν...
« καὶ ὅσα κατὰ θώρακα, καὶ πνεύμονα, καὶ γαστέρα... ὑπὸ
« Καταῤῥου πτύοντας αἷμα.

Ἐν δὲ τῷ Ἀντιγράφῳ οὕτω ταῦτα λέγεται συντετμημένως·

« Τὰ μὲν οὖν προκαταρκτικὰ τῶν αἱμοπτυϊκῶν πλείονα αἴτια·
« Ἢ γὰρ βάφος σαρκὸς, ἢ πήδησις, ἢ διάτασις φωνῆς, ἢ πλη-
« θώρα. Τὰ δέ τοι συνεκτικὰ, ἤτοι ἀναστόμωσις, ἢ διάῤῥηξις, ἢ
« διάβρωσις· ἢ γὰρ ἀπὸ κεφαλῆς φέρεται, ἢ στόματος, ἢ στομά-
« χου, ἢ τραχείας ἀρτηρίας, ἢ πνεύμονος, ἢ θώρακος.

Καὶ πάλιν περὶ τῶν σημείων ἐν τῷ αὐτῷ βιβλίῳ τῆς Θεραπευτικῆς οὕτω λέγει·

« Τὸ δὲ αἷμα, οὔτε θερμὸν, οὔτε ἐρυθρὸν, οὔτε πολὺ...
« ἀθρόον... παχέος αἵματος... τὸ δὲ ἀπὸ ἀρτηρίας ξανθὸν, καὶ
« λεπτὸν, καὶ θερμὸν...

Ἐν δὲ τῷ Ἀντιγράφῳ προθεὶς τὴν ἐπιγραφὴν, Αἱμοπτυϊκῶν σημεῖα. Ἐπάγει·

« Τὸ μὲν οὖν ἀπὸ τραχείας ἀρτηρίας φερόμενον αἷμα ξανθόν
« ἐστι, τὸ δὲ ἀπὸ κεφαλῆς φερόμενον, μελάντερόν ἐστι... τὸ δὲ
« ἀπὸ πνεύμονος, ξανθόν τε καὶ ἀφρῶδες.

Ταῦτα δ' εἰρήσθω μοι καὶ περὶ τῆς σκευασίας τῆς λεγομένης θηριακῆς, περὶ ἧς διαλαμβάνεται ἐν μὲν τῷ παρ' ἐμοὶ Ἀντιγράφῳ κεφ. ρδ΄· οὕτω

« Λάβε τοίνυν ἔχεις τέτταρας ἢ πέντε νεοθηράτους, καὶ ἀφελὼν
« αὐτοὺς τὸ πρὸς τὴν κεφαλὴν καὶ τὴν οὐρὰν μέλος, καὶ πᾶ-

« σαν τὴν φολίδα, καὶ τὰ ἐντὸς αὐτῶν ἀφελὼν, ἕψε ἐν καινῇ « χύτρᾳ μετὰ ἀνήθου, ἕως οὗ χωρισθῶσιν αἱ ἄκανθαι τῶν σαρ- « κῶν... καὶ ἐπιμίξας αὐταῖς ἄρτου καθαροῦ, ὁμοίως ἀνάπλαττε... « τὰς δὲ ἐχίδνας, οὐχ ὥςπερ ἔνιοι μέσου θέρους, οὐδὲ ἄρτι τῆς « φολίδος παυσαμένης... κάλλιστος οὖν καιρὸς τὸ ἔαρ... καὶ κατὰ « τὴν ἀρχὴν τοῦ θέρους δεῖ θηρεύειν αὐτάς·

Ἐν δὲ τῷ περὶ φαρμάκων συνθέσεως ια´, οὕτω φησί·

« Τοὺς μὲν δὴ ἀρτίσκους, οὓς καὶ θηριακοὺς ὀνομάζουσι, « σκευάζομεν οὕτως... ἐπεὶ δ' ἔθος ἡμῖν ὅταν αὐτοὺς κατασκευά- « ζωμεν, ἀφαιρεῖν οὐ μόνον τὴν κεφαλὴν αὐτῶν, ἀλλὰ καὶ τὴν « οὐρὰν... ἀποκτείναντες γὰρ αὐτὰς... ἐξαιροῦμέν τε καὶ ἀποῤ- « ῥίπτομεν ἅπαντα τὰ ἔνδον, ὡς μόνην καταλείπεσθαι τὴν τῶν « σαρκῶν οὐσίαν... κεκαθαρμένας δ' αὐτὰς λαβόντες, εἶθ' ἕψον- « τες ἐν ὕδατι, μέχρις ἂν ἀκριβῶς ἡμῖν δόξωσιν εἶναι ἐφθαί. « Συνεμβάλλομεν δὲ εὐθέως ἐξ ἀρχῆς ἀνήθου τῷ ὕδατι, καὶ μετὰ « τὴν ἕψησιν ἀπὸ τῶν σαρκῶν διακρίνομεν τὰς ἀκάνθας, εἶτα « μίγνυμεν ἄρτῳ λελειωμένῳ τὴν σάρκα. Τὸν δὲ ἄρτον τοῦτον, « οὐ τὸν ἐπιτυχόντα λαμβάνομεν· ἀλλ' ὡς ἔνι μάλιστα καθα- « ρώτατόν τε, καὶ καλῶς ὠπτημένον... τούτους μὲν οὖν [τοὺς « ἀρτίσκους] εἰσβάλλοντος τοῦ θέρους σκευάζομεν, ἡνίκα μάλιστα « βελτίστη τῶν ἐχιδνῶν ἐστιν ἡ σάρξ.

Τίς ἂν οὖν εὖ ἔχων σκέψεως, ἔξαρνος γένοιτ' ἂν καὶ τὰ ἐν τῷ Ἀντιγράφῳ, καὶ τὰ ἐν τοῖς περὶ συνθέσεως φαρμάκων βιβλίοις, μὴ εἶναι τοῦ Γαληνοῦ; ἀλλὰ δυνατὸν φήσει τις ἄλλον τινὰ ἐκ τῶν τοῦ Γαληνοῦ ἐρανισάμενον, τὴν πραγματείαν συνθεῖναι; Τί οὖν ὁ ἐρανιστὴς οὗτος τὸ οἰκεῖον ὄνομα οὐκ ἐπέγραψε τῷ ἐρανίσματι; καὶ γὰρ καὶ Παῦλος ὁ Αἰγινήτης ἀωτεύσας τὰ τοῦ Γαληνοῦ, καὶ Ἀρεταίου, καὶ Ἀετίου, καὶ ἄλλων, ἐπέγραψε τῇ αὐτοῦ πραγματείᾳ τὸ οἰκεῖον ὄνομα.

Ἀλλ' ἐρεῖ τις, ὅτι ἡ σύνταξις τῆς παρούσης πραγματείας διάφορος τῆς τῶν Σωζομένων καὶ ἐκδεδομένων τοῦ Γαληνοῦ· εἰ μὲν τοῦτο

λέξει, ὅτι ἐνταῦθα μὲν ἐπὶ τῶν πλειόνων νοσημάτων προτίθησι τὰ αἴτια, εἶτα τὰ σημεῖα, καὶ ἔπειτα τὴν θεραπείαν, ἐν δὲ τοῖς ἐκδεδομένοις οὐχὶ, ἐλέγχεται μὴ καλῶς ἀνεγνωκὼς τὰ τοῦ Γαληνοῦ, ὅς γε οὐ διαιρεῖ ταῦτα, κατὰ τὴν Θεραπευτικὴν, χωρὶς ἐν ἰδίοις κεφαλαίοις, ἀλλ' οὖν καὶ τὰ αἴτια καὶ τὰ σημεῖα προτίθησιν, ἢ μετὰ τὴν θεραπείαν ἐπάγει ἐν τοῖς ἐκδεδομένοις· ὅπερ ταὐτόν ἐστι τῷ, εἴτις φαίη, ὅτι ἡ δεῖνα οἰκία οὐκ ἔστι κτίσμα τοῦ ἀρχιτέκτονος τοῦ τεκτηναμένου τὴν δεῖνα, ὅτι ἐν ταύτῃ τὸ προαύλιον κεχώρισται τοῦ μεσαυλίου, ἐν ἐκείνῃ δὲ εἰς ἓν συνῆφθαι. Ἀλλὰ καὶ αὐτὸς ὁ Γαληνὸς ἐν τῷ προοιμίῳ φησὶν, ὅτι τὸ βιβλίον τοῦτο διάφορον τῶν ἄλλων αὐτοῦ πραγματειῶν συνετάξατο· λέγει γάρ.

« Διὰ τοῦτο οὐκ ἀκριβῶς ἐπιστημονικὴν Θεραπείαν καὶ πάντῃ
« τοῖς οἰκείοις Δωρήμασι συμπληρουμένην ἐνθάδε γράφων προὔ-
« θέμην· ἀλλ' ὅπως ἄν τις καὶ Ἰατρὸς καὶ Ἰδιώτης ἐκ τοῦ παρα-
« χρῆμα βοηθεῖν τοῖς κινδυνεύουσιν, ἢ καὶ ἄλλως πάσχουσι κατὰ
« τὸ ἐνδεχόμενον, ἐκ τῶν ὡς οἷόν τε ἐν ἀποροῦσιν ἀπορουμέ-
« νων (1) τε βοηθημάτων, ὑποθέσθαι δίκαιον ᾠήθην. . . . .

Εἰ δὲ αὐτὸς ὁμολογεῖ διαφόρως γράψαι τὴν πραγματείαν, τίς ἀνάγκη ζητεῖν τὴν ἐμφέρειαν ἐν ἅπασιν, ὅσα συνετάξατο; ἢ τυχὸν ὁ αὐτὸς κεραμεὺς οὐ δύναται δημιουργεῖν πῖθον, καὶ πιθοειδές τι; παραλογισμὸς τὰ τοιαῦτα, ἐν ᾧ ἐμπεπτώκασι, καὶ ἄλλοι περὶ ἄλλων γράφοντες, καὶ οἱ τὴν Ὀδύσσειαν ἰσχυρισάμενοι μὴ εἶναι τοῦ αὐτοῦ, ὃς καὶ τὴν Ἰλιάδα ἐποίησεν. Ὅτι ἐνταῦθά φασιν ὁ χαρακτὴρ τοῦ λόγου νεανικώτερος, καὶ ἐναγώνιος, ἐν δὲ τῇ Ὀδυσσείᾳ ἀνειμένος· ὡς δῆθεν τὸν αὐτὸν ποιητὴν μὴ δύνασθαι ὁ τὲ μὲν ἀνειμένον, ὁ τὲ δὲ σύντονον τὸν λόγον, κατασκευάσαι· ὅπου γε οἱ ῥήτορες, τῶν αὐτῶν νοημάτων ὄντων, μεταβάλλοντες τὴν λέξιν, ὁ τὲ μὲν Πανηγυρικὸν, ὁ τὲ δὲ Συμβουλευτικὸν τὸν χαρακτῆρα ποιοῦσι· καίτοι οὗτοι ταὐτὰ λέγοντες ἀλλοῖον τὸν λόγον ποιοῦσι διὰ τὴν τέχνην, οἱ δὲ ποιηταὶ καὶ διαφόρους

(1) Γράφε, εὐπορουμένων.

τοὺς μύθους πλάττοντες· πῶς οὖν ἄν τις εἴποι τεχνικὸν τὸ τὰ ἀνόμοια πάθη ὁμοίᾳ λέξει ἐξαγγέλλεσθαι; οὐδὲ γὰρ ὀργιζόμενοι, καὶ χαίροντες ὁμοίᾳ λέξει περιβάλλομεν τὴν ὀργὴν καὶ τὴν χαρὰν ἡμῶν, οὔτε λυπούμενοι, καὶ σκεπτόμενοι· Εἰ δὲ ῥήτορσιν ἔξεστι ταὐτὰ ἄλλοτε ἄλλως ἐκφράζειν, καὶ τέκτοσι, μὴ οἰκοδόμοις εἶναι μονοειδῶν οἰκιῶν, πῶς εὔλογον τὸν Γαληνὸν μὴ τὴν τάξιν μεταβάλλειν, τοῦ αὐτοῦ διδακτικοῦ καὶ λεκτικοῦ χαρακτῆρος ὄντος, πρὸς τὸ χρήσιμον τῶν ὁδοιπόρων, καὶ ἀγροδιαίτων, καὶ ὀρηφοίτων; Ἀλλὰ κατὰ τὴν Εὐρώπην ἐν τοῖς καιροῖς τούτοις Δογματικοί ἐσμεν ἅπαντες, καὶ οὐκ ἀπείρηται ἡμῖν ἐπαγγέλλεσθαι ἅπαντα εἰδέναι, καὶ περὶ πάντων ἀποφαίνεσθαι, καί περ μηδὲν εἰδόσι, Σωκρατικώτερον φάναι.

Ἐγὼ μὲν οὖν, δι' ἅπερ ἔφθην εἰπὼν, οὐχ ἑτέρου ἡγοῦμαι τὴν περὶ Εὐπορίστων τοῦ Γαληνοῦ πραγματείαν, ἀλλ' αὐτοῦ ἐκείνου. Τὴν αὐτὴν γὰρ πολυμάθειαν τοῖς ἄλλοις αὐτοῦ γράμμασι καὶ τοῦτο ἐπιδείκνυται· οἷον περὶ Ἐλεφαντιάσεως λέγων,

> « Τῆς δὲ Ἐλεφαντιάσεως τῶν μὲν παλαιῶν οὐδεὶς ἐμνήσθη
> « ἰατρῶν· φιλοσόφων δὲ Δημόκριτος ἐν τῷ περὶ Ἐλεφαντιάσεως
> « αὐτοῦ βιβλίῳ.

Ἀλλὰ πρὸς τοῦ Ἀσκληπιοῦ, ἐξέστω μοι διακόψαντι τὸν λόγον, εἰπεῖν πρὸς τοὺς Ἀντιλέγοντας, μᾶλλον δὲ ἐρωτῆσαι αὐτούς· πῶς ὦ Ἰατρῶν Ἄριστοι, εἰ μὴ ὑπῆρχεν ὁ γράψας τὴν βίβλον ταύτην Γαληνὸς, ἀλλὰ νεώτερός τις αὐτοῦ, ἐτόλμα τοιοῦτόν τι λέγειν, ὡς οὐδεὶς ἐμνήσθη ἐλεφαντιάσεως τῶν παλαιῶν ἰατρῶν; ὅπου γε ὁ Γαληνὸς πολλαχοῦ ταύτης μέμνηται τῶν Θεραπευτικῶν, καὶ μάλιστα ἐν τῷ περὶ τῆς Δυνάμεως τῶν ἁπλῶν φαρμάκων βιβλ. ια', ἔνθα καὶ τρία συμπτώματα ἐλεφαντιώντων παράγει, λέγων περὶ σαρκὸς τῆς Ἐχίδνης (1), καὶ μετ' αὐτὸν ὁ Ἀρεταῖος, ὃς καὶ κατει-

(1) Γαληνοῦ περὶ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως βιβλίον ια· περὶ σαρκὸς ἐχίδνης.

ρωνεύσατο αὐτοῦ (1), ὡς μικρὸν πρόσθεν ἔφην, διὰ τὴν παράδοξον θεραπείαν τοῦ πάθους, ἐπιστήσας ἐκείνοις τοῖς παραδείγμασιν· ὁ δὲ καὶ λαμπρότατα τὸ πάθος περιέγραψεν ἐν ταῖς αἰτιολογίαις τῶν ὀξέων καὶ χρονίων Νούσων. Ἀνάγκη ἄρα μὴ μεταγενέστερον εἶναι τοῦ Γαληνοῦ τὸν Συγγραφέα τῶν εὐπορίστων· ἀλλ' οὐδ' ἀρχαιότερον· οὐ γὰρ ἂν ἔλεγεν ὁ Γαληνὸς, οὐδεὶς τῶν παλαιῶν Ἰατρῶν ἐμνήσθη τοῦ πάθους (2). Γαλήνειος ἄρα ἐστὶν ἡ πραγματεία.

Ἀλλ', ὡς ἔφην, τὴν αὐτὴν τοῖς ἄλλοις βιβλίοις Πολυμάθειαν τοῦ ἐκ Περγάμου σοφοῦ Ἰατροῦ ἐν αὐτῇ βλέπομεν· οἷον, ἐν τῷ περὶ Ὕδρωπος νγ' κεφαλαίῳ.

(1) Εἰδέγε ὀρθῶς ἢ μὴ, οὐ τοῦ παρόντος καιροῦ. Ἰατρικῆς πραγματείας τὸ ἔργον· καὶ ἴσως ἀλλαχοῦ εἰρήσεται· χάρις δὲ τῇ κατὰ τὴν Εὐρώπην καλῇ διαίτῃ τῶν ἀνθρώπων, δι' ἣν ἡ νόσος αὕτη οὐχ ὑπάρχει· ἐγὼ δὲ κατὰ τὴν ἐμὴν ἀποστολὴν δυοῖν νοσούντοιν ἐνέτυχον, τῷ μὲν Θασίῳ, ὑπηρετοῦντι κατὰ τὴν ἱερὰν μονὴν τοῦ Κουτλουμουσίου, οὗ οἱ πόδες ἔξογκοι ἦσαν ἐκ τοῦ ὀχθώδους τῶν ἑλκωμάτων, τὰ δὲ λοιπὰ τοῦ σώματος τὸ πάθος οὔπω παντάπασιν ἐνενέμητο, ἀλλὰ ὤργα πρὸς τὸ ἑλκωτικόν· ᾧ γε καὶ τὰ πρόσφορα ἐκ τῶν ἐνόντων εἰπὼν, προετρεψάμην εἰς πόλιν ἀπιέναι καὶ χρήσασθαι τούτοις. Ἑτέρῳ δὲ Λημνίῳ ἐκτὸς τῆς τοῦ Παντοκράτορος μονῆς, καλύβιον οἰκοῦντι, ὃν καὶ παρηγόρησα ἐκ τῶν ἐνόντων. Ἀλλὰ τὸ πάθος οὐκ ὀχθῶδη, μᾶλλον δ' ἑλκώδη τὰ κατὰ τὸ σῶμα διετεθείκει, καὶ μάλιστα ταῖν χειροῖν οἱ μῦς πρὸς σῆψιν ἐχώρουν, ὡς καὶ τὰ ἄκρα φαλάγγια τῆς μὲν τοῦ λιχανοῦ, τῆς δὲ τοῦ παραμέσου δακτύλων καταπεπτωκέναι· Ἀλλὰ οὗτος διὰ τὸ ἀποστρέφεσθαι αὐτὸν τοὺς ἐκεῖ, νύκτιος ἀφανὴς ἐγένετο, καὶ οὐκ ἔμαθον ἔπειτα ποῦ ἀπέλθοι· τὸ δὲ πάθος οἱ ἐπιχώριοι οἱ μὲν, λώβην· οἱ δὲ, φάγαιναν καλοῦσι. Περὶ τούτοιν ἐπέστειλα τῷ ͵αωμβ' κατὰ μῆνα τὸν μάϊον, ὢν κατὰ τὸν Ἄθω, τῷ φίλῳ καὶ σοφῷ Γραμματεῖ τῆς Ἰατρικῆς Ἀκαδημίας κυρίῳ Παριζέῳ.

(2) Παλαίφατον δὲ τὸ πάθος· φέρονται γάρ τινα παραδείγματα ἐν τῇ Παλαιᾷ Διαθήκῃ, οἷον τὸ τοῦ Γιεζῆ, καὶ τὸ τοῦ Νεεμὰν τοῦ Σύρου, καλούμενον τῷ τῆς Λέπρας ὀνόματι. Οὐκ ἀπέλιπε δὲ ἐν ταῖς νήσοις τοῦ Ἀρχιπελάγους. Οὐ μόνον διὰ τὸν Θάσιον καὶ Λήμνιον, οὓς ἀνωτέρω εἴρηκα· ἀλλὰ καὶ πολλοὶ τῶν νησιωτῶν μοι ἔλεγον ἐπιχώριόν πως εἶναι τὸ πάθος, καὶ εἶναί τινας νοσοῦντας κατὰ τὴν Κρήτην καὶ Κύπρον· καὶ κατὰ τὸν Λαῦκον δὲ τῆς Ζαγορᾶς πολλοὶ νοσοῦσι τὴν νόσον ταύτην.

« Ἐρασίστρατος σκίῤῥωσιν τοῦ Ἥπατος, αἰτίαν ὑποτίθεται
« τῶν Ὑδρώπων ..... ὁ δὲ Διοκλῆς ἀπὸ Σπληνός φησι γίνε-
« σθαι τοὺς Ὕδρωπας ..... Πραξαγόρας δὲ περὶ τὰς κοίλας
« φλέβας φησὶ γίνεσθαι τὴν κατάψυξιν ..... Ἱπποκράτης δὲ
« ἐπὶ παντὶ σπλάγχνῳ .... »

Τὸ γὰρ τὰ δόξαντα τοῖς ἀρχαίοις παρατίθεσθαι μετὰ τῶν ὀνομάτων, καὶ διαιτᾷν αὐτὰ ἐν οἷς τε εὖ ἔχει, ἐν οἷς τε μὴ, εἶτα καὶ τὴν οἰκείαν γνώμην φέρειν, ταῦτα Γαληνοῦ ἴδια.

Ἀλλὰ πάλιν τυχὸν ἀντερεῖ τις τὰ περὶ Εὐποριστῶν ἐκδεδομένα τεμμάχια παραλλαγήν τινα ἔχει, καὶ οὐ παντάπασιν ταὐτὰ φαίνεται· Περὶ μὲν τῆς παραλλαγῆς τῶν Ἰατρικῶν βιβλίων ῥητέον, ὅτι τινὰ τῶν ἐκδεδομένων τοσοῦτον διαλλάττει, εἴτε ἀμαθίᾳ, εἴτε συντομίας χάριν, πρός τινα τῶν παλαιῶν ἀντιγράφων, ἀλλὰ καὶ αὐτὰ τὰ ἀντίγραφα πρὸς ἄλληλα, ὡς φαίνεσθαι δύο διάφορα ξυγγράμματα τοῦ αὐτοῦ ξυγγραφέως· οἷόν τι κατενόησα ἐν τοῖς τοῦ Ἀετίου, ὧν καὶ Φώτιος ἀναγραφὴν ἐποιήσατο. Τὸ μὲν γὰρ ἐν τῇ Ἱερᾷ μονῇ τῆς Λαύρας ὑπάρχει πληρέστερον παραβαλλόμενον πρὸς τὸ τῆς σαβασμίας μονῆς τοῦ Βατοπαιδίου, συντομώτερον ὄν· ὃ καὶ τῆς ἐκδόσεως οἶμαι, Ἀθηβόλον (1) ἐγένετο.

Περὶ δὲ τῶν ἐκδεδομένων τεμμαχίων τῶν τοῦ Γαληνοῦ Εὐποριστων, ἐκεῖνο ἂν εἴποιμι· πότερον ἐκ τοῦ μέρους κατὰ ἀναδρομὴν κρίνοιμεν ἂν τὸ ὅλον, ἢ ἐκ τούτου τὸ μέρος; οἶμαι ἐκ τοῦ ὅλου, τοῦ περιέχοντος, τὸ μέρος. Οὐδ᾽ ἐνταῦθ᾽ ἐροῦμεν τὸ ἐξ ὄνυχος τὸν Λέοντα· οὐδ᾽ ὅπερ ὁ καθ᾽ ἡμᾶς σοφώτατος Κιούβιος ἔλεγε· Δοθέν-

(2) Ἐν πολλοῖς Ἀντιγράφοις ἐνέτυχον τῇ λέξει Ἀθηβόλον, σημαινούσῃ τοῦθ᾽ ὅπερ Γαλλιστὶ λέγομεν modèle. Ὁ καθ᾽ ἡμᾶς σοφὸς Ἀκαδημαϊκὸς Βοασωνάδης, ἔφη μοι, ἀνεγνωκέναι πού τινα τῶν Ἑλληνιζόντων, ὑπολαμβάνοντα ταύτην διαφθάρθαι ὑπὸ ἀμαθίας τῶν ἀντιγραφέων, δέον γράφεσθαι Ἀντιβολὴ, παρὰ τὸ ἀντιβάλλω, λαμβανομένης τῆς λέξεως ἐπὶ πράγματος, καὶ οὐχὶ ἐνεργητικῶς, ὡς περιβολὴ, τὸ περιβόλαιον. Ἐπεὶ δὲ τὰ τῶν φωνῶν καὶ λέξεων, τῇ συνθήκῃ εὐθετεῖται, εἴασα τοὔνομα, ὡς εὗρον γραφόμενον.

τος μικροῦ ὀστεαδίου, εὑρεῖν τὸ μέλος καὶ τὸ Ζῶον, ᾧ τινι προσήκοι, κἄντε γνωστῷ κἄντε ἀγνώστῳ. Ὅτι ἐν τούτοις καὶ ὁ ὄνυξ τοῦ λέοντος γνωστότατος, καὶ αὐτὸς ὁ λέων. Ὅ τε σοφὸς Κιούβιος ἐκμελετήσας κάλλιστα τὴν συγκριτικὴν ἀνατομίαν, ἠδύνατο ὀρθότατα ἐκ τοῦ μικροῦ ὀστοῦ τεκμήρασθαι, εἴτε προκατακλύσμιον, εἴτε καὶ μετακλύσμιον εἴη τὸ Ζῶον, καὶ τὸ μέγεθος ὅσον. Ὅπουγε οἱ καθ' ἡμᾶς Ἰατροὶ ἀμελέτητοι ὄντες Ἑλληνικῆς παιδείας, οὐ δύνανται ἐκ τεμμαχίων, καὶ τούτων ἤτοι παρηλλαγμένων διὰ τὴν μεταγραφὴν τῶν ἀμαθῶν, ἢ τινῶν ἀνηκόντων εἰς τὸ ἕτερον τῶν εὐποριστῶν, περὶ οὗ αὐτίκα λελέξεται, συμπεραίνειν τὸ ὅλον· Διὸ καὶ ἀνωτέρω μὲν ἐπῄνεσα τὸ Συμβούλιον τῆς δημοσίου διδασκαλίας, ἀπαιτοῦν τοὺς ἐξεταζομένους μαθητὰς εἰδέναι τὰ μαθηματικὰ, ἐνταῦθα δ' ἐπαινῶ, ὅτι προσαπαιτεῖ τὸ καλῶς αὐτοὺς γράφειν καὶ τὴν Ἑλληνικὴν γλῶτταν. Κατενόησε γὰρ, ὅτι πρὸς τῇ ἐντεῦθεν ἐκ τῶν ἐγνωσμένων ἤδη ὠφελείᾳ, καὶ ἄλλαι τινὲς γνώσεις ὑπολανθάνουσιν ἐν τοῖς παλαιοῖς τῶν Ἑλλήνων ξυγγράμμασιν· ἀλλ' ἐκ τῆς ἀγνοίας αὐτῶν, ἐκεῖναί τε ἄδηλοι ἔτι, καὶ τὰ ξυγγράμματα τῶν σοφωτέρων Ψευδωνύμως ταλαντεύεται· Διὸ καὶ ἡ κατ' ἀναδρομὴν κρίσις ἀπὸ τῶν διεφθορότων ἐκδεδομένων τεμμαχίων ἐπὶ τὰ διπλᾶ Εὐπόριστα, ἐπισφαλής ἐστι παντάπασιν· καὶ ἀνάγκη ἐκ τοῦ ὅλου κρίνειν τὸ μέρος τοῖς ὁπωσοῦν μὴ ἀγεύστοις Ἑλληνικῆς παιδείας, ὥσπερ ἐκπεριέχοντος τὸ περιεχόμενον· καὶ ἐπιγνῶναι σαφῶς, εἰ τὰ τεμμάχια πρὸς ὅλον τὸ ἐμὸν ἀνακτέα Ἀντίγραφον.

Εἰ δὲ ὅτι τὰ ἐκδοθέντα τῶν Εὐποριστῶν Τεμμάχια, νόθα τινὲς ὑπέλαβον, διὰ τοῦτο καὶ τὸ ἐμὸν ἀντίγραφον νομίζειν Ψευδώνυμον, οὐκ ὀρθῶς ἔχει· καὶ τάχα μὲν ἐκεῖνα, ἅτε παρακεκομμένα, λόγον τινὰ ἔχει ὑποληφθῆναι οὕτω παρὰ τῶν ἀντιγραφέων, τὸ δ' ἐμὸν οὐδὲ διὰ τὴν τῶν νόθων ἐπιγραφὴν εὐλόγως Ψευδώνυμον νομισθήσεται· Ὅτι καὶ Γαληνὸς αὐτὸς μαρτυρεῖ συντεταχέναι δύο βιβλία περὶ Εὐποριστων, λέγων (1).

(1) Γαληνοῦ Θεραπευτικῆς μεθόδου βιβλίον ιδ'.

« Ἀγαθὸν δὲ φάρμακον εἰς ταῦτα καὶ τὸ γλαύκιον, αὐτό τε καθ'
« ἑαυτὸ δι' ὀξυκράτου λυθὲν· ἔτι τε μᾶλλον τὸ δι' αὐτοῦ συντιθέ-
« μενον ἡμέτερον φάρμακον· οὗ τὴν σύνθεσιν ἔχεις ἐν τῇ περὶ
« τῶν φαρμάκων πραγματείᾳ λεγομένῃ· ἦσαν δέ μοι μέχρι δεῦρο
« τρεῖς· ἥ τε περὶ τῶν ἁπλῶν, καὶ μετὰ ταύτην ἡ περὶ συνθέσεως
« αὐτῶν· εἶθ' ἡ περὶ τῶν Εὐπορίστων· ἔοικα δὲ καὶ τετάρτην
« ἄλλην ποιήσειν, ἐπειδὴ καὶ πολλοὶ τῶν ἑταίρων οὕτως ἀξιοῦσιν,
« ἐν ᾗ περὶ τῶν κοινῶν καὶ ἰδίων ἑκάστου μορίου καὶ πάθους
« φαρμάκων ὁ λόγος ἔσται μοι.

Ὅτι μὲν οὖν ὁ Γαληνὸς δύο περὶ Εὐπορίστων συνετάξατο βιβλία, δῆλον ἐκ τούτων. Οἶμαι δὲ πεπονθέναι ταῦτα, ταὐτὸν τοῖς πολλοῖς τῶν νομικῶν βιβλίοις· Ἐκλογαὶ γὰρ τούτων οἱ μετέπειτα ποιούμενοι, συνοπτικὰς σφίσι πραγματείας συνετάξαντο· ἐξ οὗ καὶ ἔν τισι ἀντιγράφοις περγαμινοῖς λεγομένοις, καὶ τὴν λέξιν τοῦ Συντόμου Κώδικος ἀνέγνων, ὡς ἕτερον εἶναι τὸν κελεύσει Ἰουστινιανοῦ γεγραμμένον, καὶ ἕτερον τὸν συντετμημένον. Συντετμημένον δ' οἶμαι καὶ τὸν σωζόμενον Πανδέκτην, ἢ λατινικώτερον ἐπιγραφόμενον Δίγεστα, διὰ τὸ ὀλιγόστιχον, οὕτως εἰπεῖν, τῶν ἐν αὐτῷ φερομένων ζητημάτων· Τ' αὐτὸν δὲ συνέβη καὶ τοῖς μετὰ ταῦτα συνταχθεῖσι Βασιλικοῖς, τοῖς ἐκδοθεῖσιν ὑπὸ Φαβρώτου ἐν Παρισίῳ. Δείκνυται δὲ τὸ συνοπτικὸν τῶν Βασιλικῶν τούτων, ἐκ τῶν βιβλίων μθ´ καὶ ν´, να´, νϐ´. ἐκδεδομένων τῷ αχζέ ἐν Λουγδούνῳ τῶν Βατάβων· ἐν τούτοις γὰρ κατ' ἀρχὰς δηλοῦται, μᾶλλον δ' ἐπιγέγραπται, τὸ βιβλίον τῶν Διγέστων, καὶ τοῦ Κώδικος, ἐξ ὧν ἕκαστα τῶν Βασιλικῶν οἱ περὶ τὸν αὐτοκράτορα Λέοντα ἐξελέξαντο· καὶ τὰ ἐν Λουγδούνῳ ἐκδοθέντα βιβλία τυγχάνει πληρέστερα· Ἀλλὰ καὶ τὸ ἀντίγραφον τὸ ὑπὸ Φαβρώτου ἐκδοθὲν, ἐν πολλοῖς ἀτελὲς ὂν (1), ἔτι συντομώτερον πεποιήκασιν· Οἷον τὸ κατὰ

(1) Ὅν περ πίνακα τῶν τιτλώσεων, τῶν βασιλικῶν λέγω, δέδωκα τῷ σοφῷ Ἀκαδημαϊκῷ καὶ Νομικῷ κυρίῳ Ζειρώτῃ πρὸς θεωρίαν καὶ ἔκδοσιν, ἴσως τινὰ ἔλεγχον ἀκριβείας δώσει· τὸ γὰρ ἀντίγραφον τὸ Περγαμινὸν, ἐξ οὗ τοῦ τ' ἀντέγραψα τοῦ ιϐ´ αἰῶνος ἐφαίνετο. Ὅ δὲ μέρος τῶν βασιλικῶν νεωστὶ ἐξεῦρεν ὁ Γερμανὸς Ζαχαρίας, οὐκ οἶδα πῶς ἔχει, μήπω ἐκδεδομένον.

στοιχεῖον νόμιμον, οὗπερ ἀντίγραφον καὶ τοῦ δεκάτου αἰῶνος γινώσκω. Ἔπειτα δὲ οἱ μὲν εἰς πεντήκοντα τίτλους, οὗ καὶ ἀντίγραφον τοῦ αὐτοῦ σχεδὸν αἰῶνος εἶδον· οἱ δὲ εἰς τεσσαράκοντα· ὁ δὲ Ἀτταλιάτης ἔπειτα ἄλλως, Ἁρμενόπουλος ἄλλως, καὶ ἄλλοι ἄλλως συνέτεμον.

Αὐτὸ δὲ τοῦτο πεπόνθασι καὶ τὰ τῶν Ἰατρῶν συγγράμματα, συντεμνόμενα, καὶ περιτεμνόμενα, καὶ στενούμενα, σχεδὸν εἰς διστιχίαν, ἢ μονοστιχίαν τὰ φάρμακα περιῆλθεν. Ὅθεν ἄν τις καὶ περὶ τῶν Εὐπορίστων τοῦ Γαληνοῦ εἴποι, μηδένα ὑφορώμενος ἔλεγχον· Ἀδύνατον γὰρ τὸ περὶ Εὐπορίστων τοῦ Γαληνοῦ οὕτως ἐπιτετμημένως γεγράφθαι, ὡς τὰ τεμμάχια ἐν ταῖς ἐκδόσεσι φαίνεται. Πῶς γάρ; ὅς γε καταλέγει τὸ βιβλίον τοῖς περὶ Συνθέσεως τῶν φαρμάκων, τὸ πλῆρες πανταχόθεν ἔχουσιν; Ἀλλὰ καὶ τὰ ἐν τῷ ἐμῷ ἀντιγράφῳ Εὐπόριστα ἄχρι τοῦ ΙΓ βιβλίου οὕτω περιτετιλμένα φαίνεται· τὰ δὲ ἀπὸ τοῦ κεφαλαίου τούτου ἀρχόμενα ἄχρι τοῦ νθ΄ καλῶς οἱ ἀντιγραφεῖς διέσωσαν. Τὰ δὲ μετὰ ταῦτα πάλιν περιτέτμηται· ἄχρι τοῦ ρν΄ κεφαλαίου· τὰ γὰρ πρὸ αὐτοῦ, ἐξαιρουμένων τριῶν ἢ τεττάρων παρεμβεβλημένων, ἅπαντα θεωρῶ Γαλήνεια· τὰ δὲ μετὰ ταῦτα, οὐχ ἔτι. καὶ ταῦτα δὲ, ἐν πολλοῖς κακόγραφα, καὶ δεῖται ἐπανορθώσεως, ἐὰν μή τι ἐντελέστερον εὑρεθῇ.

Οἶμαι δὲ τὸ περὶ Εὐπορίστων τοῦτο εἶναι τὸ δεύτερον, ὃ ἀνωτέρω ἔλεγεν ποιήσειν ὁ Γαληνὸς· Ἐν γὰρ τῷ πρώτῳ ἔοικε περὶ Εὐπορίστων γράφων, μὴ διορίσασθαι ἕκαστον μόριον πάσχον. Διὸ καὶ ἀξιώσει φίλων εἰς γραφὴν τετάρτου κατέστη· Δείκνυται δὲ τοῦτο καὶ ἐκ τοῦ προοιμίου τοῦ δε τοῦ βιβλίου· φησὶ γάρ·

« Τὴν ἐκ τῶν Εὐπορίστων φαρμάκων δύναμιν, ἀναγκαιοτάτην
« εἶναι λογιζόμενος τοῖς ὁτιοῦν μέρος τοῦ σώματος πάσχου-
« σιν, ἀναγράψω· »

Ἀλλ᾽ ὡς ἔφην μικροκέφαλον τὸ βιβλίον καὶ μείουρον· ἔφην δ᾽ ἀνωτέρω, ὅτι οὐκ ἂν ὁ Γαληνὸς τοιαῦτα παρακεκομμένα ἔγραφε· καὶ οἶμαι ἀληθῆ εἰρῆσθαι. Καὶ γὰρ καὶ ὁ Αἰγινήτης Παῦλος ἔγραψε τὴν ἑαυτοῦ πραγματείαν χρησίμην ἐσομένην τοῖς ὁδοιποροῦσι καὶ πλέου-

σιν, ὡς καὶ ὁ πρὸ αὐτοῦ Γαληνὸς, ἀλλὰ πλήρη ταύτην ὁ ἐξ Αἰγίνης συνετάξατο· καὶ ἀνάγκη πᾶσα τὴν τοῦ ἐκ Περγάμου περικεκόφθαι.

Ἐγὼ δὲ καὶ ἑτέρῳ τινὶ Ἀντιγράφῳ ἐνέτυχον κατὰ τὴν ἐμὴν περιοδείαν, ἐπιγραφόμενον τῷ Γαληνῷ, οὕτω τοῦ λεκτικοῦ χαρακτῆρος εἰς τὸ χυδαϊκώτερόν πως μεταβεβλημένου, ὡς μηδὲ φαίνεσθαι ἂν τοῦ Γαληνοῦ εἶναι, μὴ προλόγου προκειμένου.

ΠΡΟΛΟΓΟΣ.

« Σύντομος Διδασκαλία τοῦ θαυμασιωτάτου Γαληνοῦ, τοῦ « σπεύσαντος γράψαι εἰς τὰ τῶν μορίων πάθη, ἀνίατά τε καὶ « δυσίατα, ὥστε γενέσθαι εὐΐατα. Καὶ πρῶτον μὲν κοινῷ λόγῳ, « καὶ κεφαλαιωδῶς εἰπεῖν, διδάξαντος περὶ τῆς τοῦ παντὸς σώ-« ματος ἐπιμελείας, εἶτα καὶ τὴν κατὰ τὸν πεπονθότα τόπον « γινομένην ῥαστώνην, ἥτις παρὰ τῶν Ἰατρῶν καλεῖται ὠφέ-« λεια, καὶ θεραπεία. Καὶ πρῶτον μὲν διδάσκει περὶ τῶν ἐκτὸς « παθῶν, ὅτι εἰσὶν εὐΐατα, εἶτα μέλλει καὶ περὶ τῶν ἐντὸς λέ-« γειν, δεομένων θεραπείας πολυχρονίου, καὶ ἐπιτηδείου Ἰατροῦ, « πρὸς τὸ μῆκος τῆς νόσου τοῦ πάσχοντος τόπου· Οἱ γὰρ ἐντὸς « πεπονθότες τόποι, γεγυμνασμένου δέονται Ἰατροῦ εἰς τὸ καλῶς « διαγιγνώσκειν τούτους· καὶ μέντοι καὶ πῶς ἔχει κράσεως ἕκα-« στον........

ὁ δὲ πρόλογος πέρας λαμβάνει οὕτω

« οὕτω καὶ ἐπὶ τῶν ἄλλων δυσκρασιῶν. Τἀναντία γὰρ τῶν ἐναν-« τίων Ἰάματα, κολάζοντα μὲν τὸ ὑπερβάλλον, ἀντεισάγοντα δὲ « τὸ ἐλλεῖπον. »

Προὔκειτο δὲ καὶ πίναξ περιέχον ρλδ′ κεφάλαια. Ἀπὸ κεφαλῆς δὲ ἄρχεται τὸ βιβλίον, καὶ κατιὼν μεταβαίνει, εἰ καὶ ἀτάκτως, καὶ ἐπὶ τὰ λοιπὰ μόρια, ἢ τόπους πάσχοντας· ὃν καὶ ἀντέγραψα ἐν τοῖς ἐμοῖς

καταλόγοις, κἀνταῦθα παρατίθημι, οἷς μέλλω λέγειν μετὰ ταῦτα οὐκ ἄχρηστον.

ΠΙΝΑΞ ΤΟΥ ΠΑΡΟΝΤΟΣ ΒΙΒΛΙΟΥ.

(1) Ἀντὶ τοῦ, πυῶδες εἴληπται.

(1) Ἀντὶ, Σπληνικούς.

νε΄ Πρὸς ἡμίκρανον.
νς΄ Πρὸς πιτυρίασιν κεφαλῆς.
νζ΄ Πρὸς Βουβῶνας.
νη΄ Εἰς τὸ ἀναβιβάσαι σάρκα.
νθ΄ Περὶ συνοχῆς.
ξ΄ Πρὸς φλεγμονὴν ὄρχεων.
ξα΄ Πρὸς ὠτία ῥέοντα αἷμα.
ξβ΄ Πρὸς ὠτία ἡλκωμένα.
ξγ΄ Πρὸς Βόμβον ὠτίων.
ξδ΄ Πρὸς Παρωτίδας, τὰ λεγόμενα χελωνικά.
ξε΄ Πρὸς αἷμα ῥέον ἐξ οὐλῶν.
ξς΄ Πρὸς οὖλα σεσηπότα στόματος.
ξζ΄ Πρὸς φλεγμονὴν τιτθίων.
ξη΄ Πρὸς στραγγουρίαν:
ξθ΄ Πρὸς ὕδερον.
ο΄ Πρὸς ἴκτερον.
οα΄ Πρὸς ἀποῤῥιφάς (2).
οβ΄ Πρὸς ἐρύθημα τοῦ λευκοῦ τῶν ὀφθαλμῶν.
ογ΄ Πρὸς δύσπνοιαν νέων, ἀνδρῶν, καὶ γερόντων.
οδ΄ Πρὸς κωλικὴν διάθεσιν.
οε΄ Πρὸς σκληρότητα ἥπατος.
ος΄ Πρὸς Ἰσχιακούς.
οζ΄ Πρὸς κράτησιν καταμηνίων.
οη΄ Πρὸς παρωνυχίδας.
οθ΄ Πρὸς οὐλὴν μελαινομένην.
π΄ Πρὸς τριχοῤῥοΐαν.
πα΄ Πρὸς ἀλωπεκίας καὶ ὀφιάσεις.
πβ΄ Περὶ ἐκψύξεως κεφαλῆς.
πγ΄ Πρὸς ἀμαύρωσιν ὀφθαλμῶν.
πδ΄ Πρὸς ὀδύνην ὀφθαλμῶν διὰ παχεῖς χυμούς.

(2) Ἀντὶ, ἐξαμβλώσεις.

Οὕτω μὲν εἶχεν ὁ Πίναξ τῆς συντόμου πραγματείας, ὅν τις παραθεὶς πρὸς τὰ ἐκδεδομένα τεμμάχια τῶν Εὐπορίστων, κατίδοι ἂν πολλὴν ἐμφέρειαν ἔχοντα μὲν καὶ πρὸς αὐτὰ, ἀλλὰ καὶ πρὸς τὰ τοῦ ἐμοῦ ἀντιγράφου μᾶλλον, ἢ πρὸς τὸ, περὶ πεπονθότων τόπων τοῦ Γαληνοῦ· μάλιστα ἡ φαρμακοδοσία, ἐν οἷς μὲν συντομωτέρα, ἐν οἷς δὲ ποικιλωτέρα, εἰς τὰ πολλὰ μέντοι ἐταυτίζετο, πλὴν τοῦ λεκτικοῦ χαρακτῆρος, ὡς ἔφην, εἰς τὸ χυδαϊκώτερον μετενεχθέντος, καὶ τῆς

ἀταξίας τῶν κεφαλαίων· Δυνατὸν μέντοι ἐπανορθωθῆναι, εἴ τῳ βουλομένῳ εἴη, παρατεθέντα πρός τε τὰ τῆς Θεραπευτικῆς μεθόδου, καὶ πρὸς ἑκάτερα τῶν περὶ συνθέσεως φαρμάκων, καὶ πρὸς τὰ πρὸς Γλαύκωνα· Ἀνάγκη γὰρ ἐκεῖνα κατὰ διέξοδον γεγραμμένα, περιέχειν πως τὰ μετέπειτα συντετμημένα, ἢ καὶ μεταγραφέντα εἰς τὸ χυδαϊκώτερον.

Ἀλλ' ἐκ τοῦ προκειμένου Προλόγου τῆς παρούσης πραγματείας κατίδοι ἄν τις σαφῶς, ὅτι τὰ ἀπὸ τοῦ ιγ' κεφαλαίου τῶν ἐν τῷ ἐμῷ περὶ Εὐπορίστων ἀντιγράφῳ ἄχρι τοῦ νθ' οὐκ ἀπεικότως φέρει ἐπιγραφὴν Διάγνωσις περὶ τῶν ἔξεων (1) καὶ χρονίων παθημάτων. Οὐ γὰρ εὔλογον τὰ Εὐπόριστα τὸ ἕτερον μόνον τῶν παθημάτων περιέχειν· ἢ τὰ ἐκτὸς μόνον, καὶ μὴ τὰ ἐντός. Δεῖσθαι γὰρ λέγει ὁ Προλογῶν τὰ χρόνια πάθη γεγυμνασμένου Ἰατροῦ εἰς τὸ καλῶς διαγινώσκειν ταῦτα· Ἀλλὰ καὶ ἔγραψε ταῦτα ὁ Γαληνὸς πρὸς χρῆσιν Ἰατρῶν, οὐχὶ δὲ ὡς οἱ καθ' ἡμᾶς τῶν Ἰατρῶν δημοσιεύουσιν Ἰατρικὰς βίβλους ἐπιγραφομένας, θεραπείας ἄνευ Ἰατροῦ. Ἐπὶ γὰρ τῶν ἁπλῶν νοσημάτων, ἐξ ὧν οἱ ἄνθρωποι πάσχοντες, ἐθεραπεύθησαν, δυνατὸν καὶ τοιοῦτόν τι γενέσθαι προδιδαχθέντες ὑπὸ τῆς πρὸς ἑαυτοὺς παρ' Ἰατροῦ γενομένης θεραπείας, ἢ παρ' ἄλλου μαθόντες· ἐπὶ δὲ τῶν συμπεπλεγμένων, καὶ μάλιστα χρονίων, οὐκ ἄν τις αὐτὸς ἕκαστος θεραπεύσαιτο. Εἴη γὰρ ἄν, εἴπερ τὸ πάθος οὐκ ἂν ἐγένετο χρόνιον· Ἀλλὰ δεῖται Ἰατροῦ τοῦ διαγνωσομένου· καὶ τὰ μάλιστα ἐμπειροτάτου. Τῆς γὰρ διαγνώσεως καθάπαξ ἀσφαλῶς γενομένης, παρὰ πόδας ἐστὶν ἡ θεραπεία· καὶ οὐκ ἄν τις φαίη ἀχρηστεῖν ἐν Εὐροπίστοις φαρμάκοις τὴν Διάγνωσιν (2).

(1) Γράφε, ὀξέων.

(2) Οἰκοδομείτω τις Ἰατρεῖον· ἐχέτω καὶ μαθητάς· ἐχέτω καὶ ὄργανα, καὶ εἰσίτω πρὸς τοὺς κάμνοντας. Ἆρα ἀρκεῖ ταῦτα ποιῆσαι ἰατρόν; οὐδαμῶς· ἀλλὰ δεῖ τῆς Τέχνης, καὶ ταύτης ἄνευ, οὐ μόνον ταῦτα οὐδὲν ὠφελεῖ· ἀλλὰ καὶ βλάπτει. Τὸν γὰρ οὐκ Ἰατρὸν βέλτιον μηδὲ ἔχειν φάρμακα· ὁ μὲν οὖν μὴ ἔχων, οὔτε σώζει, οὔτε ἀπόλλυσιν· ὁ δὲ ἔχων ἀπόλλυσιν, οὐκ εἰδώς, ὅπως χρήσηται·

6.

Καὶ ταῦτα μὲν τὰ ἐμοὶ δοκοῦντα περὶ τῶν Εὐπορίστων τοῦ ἐξευρημένου μοι ἀντιγράφου. Εἰ δέ τῳ τῶν ἐλλογίμων Ἰατρῶν ἄλλο τι δόξει, λεξάτω τὰ αὑτοῦ, μὴ μέντοι ἁπλῶς, μὴ δ' ἄνευ ἀποδείξεως, φαίη ἂν ὁ Γαληνός.

Ἐπεὶ δὲ ἐν τῇ παρούσῃ Προθεωρίᾳ λέγων περὶ τῆς Διαλεκτικῆς τοῦ Γαληνοῦ, καὶ περὶ τῶν Εὐπορίστων, ἐμνήσθην καὶ ἄλλων αὐτοῦ ξυγγραμμάτων, οἷς ἐνέτυχον κατὰ τὴν ἐμὴν ἀποστολήν, ἔδοξέ μοι ὑποστορέσασθαι ἐνταῦθα καὶ τὸν κατάλογον τῶν τοῦ σοφοῦ τούτου Ἰατροῦ συγγραμμάτων, ὡς ἔχει ἐν τοῖς ἐμοῖς τῶν βιβλιοθηκῶν καταλόγοις, μήπω μὲν ἐκδεδομένοις, ἐκδοθησομένοις δ' εἰς νέωτα, ἢν τὸ θεῖον βούληται. Ἀντέγραψα δ' αὐτόν, ὡς εὗρον ἐν Ἀντιγράφῳ Βομβικίνῳ τοῦ ιγ' αἰῶνος.

ΤΑΞΙΣ ΤΩΝ ΠΡΑΓΜΑΤΕΙΩΝ ΤΟΥ ΓΑΛΗΝΟΥ ΚΑΤ' ΑΥΤΟΝ ΕΝ ΤΩ ΤΕΛΕΙ ΤΟΥ ΜΙΚΡΑ ΤΕΧΝΗ ΕΠΙΓΕΓΡΑΜΜΕΝΟΥ ΒΙΒΛΙΟΥ.

ΤΑ ΧΩΡΙΣ ΤΩΝ ΚΑΤΑ ΔΙΕΞΟΔΟΝ ΠΡΑΓΜΑΤΕΙΩΝ ΒΙΒΛΙΑ.

Περὶ τεχνῶν Συστάσεως,	βιβλ. α'.
Περὶ Συστάσεως τῆς Ἰατρικῆς,	βιβλ. α'.
Μικρὰ Τέχνη,	βιβλ. α'.

ΑΙ ΚΑΤΑ ΔΙΕΞΟΔΟΝ ΠΡΑΓΜΑΤΕΙΑΙ.

Περὶ τῶν καθ' Ἱπποκράτην Στοιχείων,	βιβλ. α'.
Περὶ Κράσεων,	βιβλ. γ'

ἐπειδὴ οὐκ ἐν τῇ φύσει τῶν φαρμάκων ἐστὶν ἡ σωτηρία μόνον, ἀλλὰ καὶ ἐν τῇ τέχνῃ τοῦ προσάγοντος·

Ἰωάννης ὁ Χρυσόστομος, ὁμιλ. νβ' εἰς τὰς Πράξεις τῶν Ἀποστόλων.

Ὧν τὰ μὲν δύο περὶ τῶν ἐν τοῖς ζῴοις κράσεων,
Τὸ δὲ τρίτον περὶ τῶν ἐν τοῖς φαρμάκοις·

Περὶ τῆς ἀνωμάλου δυσκρασίας,	βιβλ. α´ μικρόν.
Περὶ τῆς ἀρίστης κατασκευῆς τοῦ σώματος,	βιβλ. α´ μικρόν.
Περὶ εὐεξίας,	βιβλ. α´ μικρόν.
Περὶ τῶν φυσικῶν δυνάμεων,	βιβλ. γ´.

Ἣν Πραγματείαν, εἴτε μετὰ δύο περὶ κράσεων,
εἴτε μετὰ τὸ περὶ Στοιχείων ἀναγινώσκοις,
δύναιτ' ἂν ἕπεσθαι·

Περὶ τῶν ψυχικῶν δυνάμεων,	βιβλία πολλά.
Περὶ τῶν ἀνατομικῶν ἐγχειρήσεων,	βιβλ. α´.

Πολλὰ τούτων προγυμνάσασθαι προσήκει ταῖς
Ἀνατομῶν πραγματείαις.

Περὶ Ἀνατομικῆς διαφωνίας,	βιβλ. β´.
Περὶ τῆς τῶν τεθνεώτων Ἀνατομῆς,	βιβλ. α´.
Περὶ τῆς τῶν ζώντων Ἀνατομῆς,	βιβλ. β´ (1).

(1) Θαυμάζω δὲ συνεχῶς ἀκούων τινῶν ἀμαθῶν κατὰ τὴν Εὐρώπην Ἰατρῶν λεγόντων, ὅτι οὐδέ ποτε σῶμα τεθνεῶς ἀνθρώπου ἀνέτεμεν ὁ Γαληνὸς, ἐμάνθανε δὲ τὴν ἀνατομὴν ἐν τοῖς τῶν Πιθήκων· Ἆρ' οὖν ἐνταῦθα τεθνηκότας καὶ ζῶντας τοὺς πίθηκας λέγει; Ἀλλὰ καὶ ἐξ ἱστορίας ἴσμεν τοὺς παρὰ Ῥωμαίοις θανάτῳ καταδικασθέντας κακούργους, ἐξῆν τοῖς Ἰατροῖς καὶ ζῶντας ἀνατέμνειν· Μάλιστα δὲ ὁ Χρυσόστομος ἐν ταῖς ὁμιλίαις, οὐκ ἄδικον ἡγεῖται τὸ ἔργον· ἐπεὶ γὰρ κακῶς ἐποίησαν, δίκαιον καὶ αὐτοὺς χρησίμους εἶναί τι ἀποθνήσκοντας· Καὶ ἔοικε τὸ ἔργον καὶ κατὰ τοὺς αὐτοῦ χρόνους πράττεσθαι· Ἀλλὰ σκληρὸν νὴ δίαγε, καὶ ἥκιστα ἀνθρώπινον, τὸ οὕτω βασανίζειν ζῶν τὸ ὁμόφυλον. Πρὸς τῷ μηδέ τι μέγα

Περὶ ὀστέων τοῖς εἰσαγομένοις, βιβλ. α′ (1).

Ἀνατομὴ μυῶν, καὶ νεύρων, καὶ ἀρτηριῶν, καὶ φλεβῶν, βιβλία τινὰ κατὰ μέρος, καί τινα ἕτερα τῶν τοιούτων, καὶ εἰ κατὰ φύσιν ἐν ἀρτηρίαις τὸ αἷμα.

Περὶ Μυῶν κινήσεως, βιβλ. β′.

Ὑποδεικνύντα τὰς ἐνεργείας αὐτῶν·

Περὶ Θώρακος καὶ Πνεύμονος, βιβλ. γ′.

Περὶ τῶν τῆς ἀναπνοῆς αἰτίων, βιβλ. α′.

Περὶ φωνῆς (2), βιβλ. α′.

Περὶ τῶν Ἱπποκράτους καὶ Πλάτωνος δογμάτων, βιβλία πολλά.

Ἐν οἷς περὶ Ἡγεμονικοῦ καὶ τῶν ἄλλων, ὅσα περὶ φυσικῶν, ἢ ψυχικῶν ἐνεργειῶν ζητεῖται, δηλοῦται. Εἴρηται δὲ καὶ ἐν τούτοις ἐπὶ πλεῖστον περὶ τῆς τῶν δυνάμεων οὐσίας, καὶ περὶ πνεύματος, ὡς αὐτὸς ἐν τῷ ιβ′ τῆς Θεραπευτικῆς μέμνηται.

ὄφελος ἐντεῦθεν παρακολουθεῖν πρὸς ἀληθῆ περίνοιαν τῶν σωματικῶν ὀργάνων. Οὐ γὰρ σώζει ταῦτα τὴν φυσικὴν κατάστασιν, οὕτω δεινῶς πάσχοντος τοῦ καταδίκου, ἀλλ' ἐξαλλοιοῦται, παλλόμενα, συστελλόμενα, σπώμενα, καὶ ἀλλοίαν διάθεσιν ἔχοντα τῶν ἐν τῷ ζῶντι· Ἀλλὰ τοῦτο μὲν φυσιολογικωτέρας Θεωρίας, τὸ δὲ λέγειν τὸν Γαληνὸν μὴ ἀνατεμεῖν σῶμα ἀνθρώπινον, οὐκ ἀνεγνωκότος ἐστὶ τὰς Πραγματείας τοῦ σοφοῦ Γαληνοῦ.

(1) Εἴρηται ἀνωτέρω, ὅτι ἐνέτυχον καὶ τούτῳ.

(2) Λέγει τι κἂν τῇ Παρούσῃ Εἰσαγωγῇ Διαλεκτικῇ περὶ φωνῆς, ὅτι καὶ τὰ κατ' αὐτὴν ὑπόκειται τῇ Ἰατρικῇ.

Περὶ Σπέρματος,	βιβλ. αʹ.
Περὶ τῆς Ἱπποκράτους ἀνατομῆς,	βιβλ. αʹ.
Περὶ χρείας μορίων,	βιβλ. αʹ.
Περὶ πεπονθότων τόπων,	βιβλ. ϛʹ.

Εἰς διάγνωσιν τῶν νοσημάτων.

Περὶ χρείας ἀναπνοῆς,	βιβλ. αʹ.
Περὶ χρείας σφυγμῶν,	βιβλ. αʹ.
Περὶ Σφυγμῶν,	βιβλ. δʹ.

Ὧν Πρῶτον περὶ τῆς διαφορᾶς αὐτῶν.
Δεύτερον τὸ τῆς Διαγνώσεως·
Τρίτον τὸ περὶ τῶν ἐν τοῖς Σφυγμοῖς αἰτίων·
Τέταρτον τὸ περὶ τῆς διὰ Σφυγμῶν προγνώσεως.

Τέχνη· ἢ περὶ Σφυγμῶν Ἐπιτομὴ,	βιβλ. αʹ.

Τοῦτο ἐνόησε μὲν ὁ Γαληνὸς ποιῆσαι
Τὸ βιβλίον, οὐκ ἐποίησε δέ·

Ἐξήγησις τοῦ περὶ Σφυγμῶν Ἀρχιγένους βιβλίου.	βιβλ. αʹ.
Περὶ τῶν Κρισίμων ἡμερῶν,	βιβλ. αʹ.
Περὶ Κρίσεως,	βιβλ. αʹ.

Εἰς προγνώσεις χρησιμώτατον (1)

(1) Ἐσημειωσάμην πάλαι ἐκ τοῦ ἐν τῇ βασιλείῳ βιβλιοθήκῃ Ἀντιγράφου 3104 τὰ ἑξῆς Ἀπὸ τοῦ Γαληνοῦ·

« Ἔστω γὰρ, ἀποκυΐσκομένου τινὸς, ἐν μὲν τῷ Κριῷ τοὺς ἀγαθο-

Περὶ Δυσπνοίας, βιϐλ. α′.

Εἰς διαγνώσιν τῆς παρούσης διαθέσεως, καὶ πρόγνωσιν τῶν ἐσομένων ἀγαθῶν ἢ κακῶν περὶ τὸν κάμνοντα.

Περὶ τῶν προκαταρκτικῶν αἰτίων, βιϐλ. α′.
Περὶ τῆς Ἰατρικῆς ἐμπειρίας, βιϐλ. α′.
Περὶ τῆς Λεπτυνούσης Διαίτης, βιϐλ. α′ (1).
Περὶ φλεϐοτομίας πρὸς Ἐρασίστρατον, βιϐλ. α′.
Περὶ τῶν παρὰ φύσιν ὄγκων, βιϐλ. α′.
Περὶ Πλήθους, βιϐλ. α′.
Ἕτερά τινα τοιαῦτα.
Περὶ τῆς τῶν νοσημάτων διαφορᾶς, βιϐλ. α′.
Περὶ αἰτίας τῶν νόσων, βιϐλ. α′.

« ποιοὺς, ἐν δὲ τῷ Ταύρῳ τοὺς κακοποιοὺς εἶναι. Πάντως οὗτος ὁ ἄνθρω-
« πως, ἐπειδὰν μὲν ἐν Κριῷ, καὶ Καρκίνῳ, καὶ Ζυγῷ, καὶ Αἰγοκέρωτι
« γένηται ἡ Σελήνη, καλῶς ἀπαλλάττεται. Ἐπειδὰν δ' ἤτοι τὸν Ταῦρον
« αὐτὸν, ἤ τι τῶν τετραγώνων, ἢ τὴν Διάμετρον αὐτοῦ Ζῴδιον ὑπέχει,
« κακῶς τηνικαῦτα, καὶ ἀνιαρῶς διάγει. Καὶ δὴ καὶ νοσημάτων ἀρχαὶ,
« κάκισται μὲν ἐν Ταύρῳ, καὶ Λέοντι, καὶ Ὑδροχόῳ, καὶ Σκορπίῳ τῆς Σε-
« λήνης οὔσης· ἀκίνδυνοι δὲ καὶ σωτήριοι, τὸν Κριὸν, καὶ τὸν Καρκῖνον,
« καὶ τὸν Ζυγὸν, καὶ τὸν Αἰγόκερων διερχομένης. Καὶ τὰς ἀλλοιώσεις οὖν
« τὰς μεγάλας, ἃς ἐν τοῖς τετραγώνοις τε καὶ Διαμέτροις ἔφαμεν γίνεσθαι
« καθ' ἑϐδομάδας, ἐν μὲν τοῖς ὀλεθρίοις νοσήμασιν ὀλεθρίας καὶ αὐτάς· ἐν
« δ' αὖ τοῖς περιεστηκόσιν, ἀγαθὰς ἀνάγκη γίγνεσθαι. »

Καὶ ταῦτα μὲν ἐκ τοῦ Ἀντιγράφου 1043· ἐγὼ δὲ καὶ βιϐλίῳ ἀνωνύμῳ ἐνέτυχον κατὰ τὴν ἐμὴν ἀποστολὴν, ἐπιγραφὴν φέροντι τοιάνδε·

« Σύντομος Πραγματεία περὶ τῆς κριτικῆς Ἀστρολογίας, ἣ δοκεῖ πως
« χρησιμεύειν εἰς τὰς περὶ νοσημάτων κρίσεις. »

(1) Εἴρηταί μοι ἀνωτέρω, ὅτι ἐνέτυχον τῷ βιϐλίῳ τούτῳ ἐν Ἀντιγράφοις.

Περὶ Συμπτωμάτων διαφορᾶς, βιβλ. α'.
Περὶ Συμπτωμάτων αἰτίας, βιβλ. γ'.
Περὶ τῆς τῶν Ἁπλῶν φαρμάκων συνθέσεως, βιβλ.
Περὶ Συνθέσεως φαρμάκων, βιβλ.
Περὶ τῶν Εὐπορίστων ὀνομαζομένων, βιβλ.
Περὶ τῶν κοινῶν καὶ Ἰδίων ἑκάστου μορίου καὶ πάθους, βιβλλ.

Τούτων μέμνηται ἐν τῷ ιδ' τῆς Θεραπευτικῆς. ἐπὶ τῇ τελευτῇ δὲ τῆςδε τῆς Πραγματείας τὴν χειρουργίαν ἐπραγματεύσατο.

Θεραπευτικῆς Μεθόδου, βιβλ. ιδ'.
Περὶ Ὑγιεινῶν, βιβλ.
Περὶ τῆς ἀρίστης αἱρέσεως, βιβλ.

Καὶ αὗται μὲν αἱ Πραγματεῖαι τοῦ Γαληνοῦ ἐνταῦθ' ὑποστορεθεῖσαι, ὡς ἐν τῷ τέλει ἔκειντο, καθ' ὃ εἴρηκα Ἀντίγραφον, τῆς Μικρὰ τέχνη ἐπιγραφομένης αὐτοῦ πραγματείας. Ἐπιστήσας δ' ἔπειτα τῇ ἐκδεδομένῃ, καὶ ἐπιγεγραμμένῃ Τέχνη Ἰατρικὴ, κατεῖδον ταύτην εἶναι τὴν ἐν τῷ Ἀντιγράφῳ φερομένην Μικρὰν τέχνην, περιέχουσαν ἑκατόν που κεφάλαια· μεθ' ἃ κεῖται καὶ ὁ Κατάλογος τῶν τοῦ Γαληνοῦ βιβλίων, ὡς ἔχει καὶ τῷ Ἀντιγράφῳ πλὴν τῶν ἐν αὐτῷ δύω τῶν περὶ Εὐποριστων. Καὶ καλῶς ἔχει ἐν ταῖς γεννησομέναις ἐκδόσεσι τῶν τοῦ Γαληνοῦ, ἐπιγράφειν Μικρὰ τέχνη τὸ τέως Τέχνη Ἰατρικὴ ἐπιγραφόμενον.

Ἀλλ' οἶμαι εἴρηται ἅλις περί τε ἀρχῆς καὶ προόδου τῆς διαλεκτικῆς, καὶ δι' ὧν ἡμῖν δέδεικται τήν τε παροῦσαν Διαλεκτικὴν εἰσαγωγὴν καὶ τὴν τῶν Εὐπορίστων πραγματείαν, τοῦ Γαληνοῦ αὐτοῦ

εἶναι, καὶ οὐκ ἄλλου. Εἰ δέ τῳ δόξειεν· οὐ γὰρ τοῖς ἀληθῶς ἐν Εὐρώπῃ φιλοσοφοῦσι, βιαιότερον ἡμῖν λελέχθαι τι περὶ Διαλεκτικῆς καὶ Ῥητορικῆς διεξερχομένοις, γνώμης ἁμαρτάνοντι ἔοικε· Δίκαιοι γὰρ τὴν τούτου αἰτίαν ἀποφέρεσθαι οἱ πρῶτοι καταργήσαντες τῶν μαθημάτων τὰ κάλλιστα. Ἡμεῖς γὰρ ὡς Εἴ τινες θεαταί τινων οὐ καλῶς πεττευόντων ἐπιστήσαντες τοῖς καθ' ἡμᾶς διαλεγομένοις καὶ ῥητορεύουσι, καὶ ἡλίκων ὄντων τῶν κατ' Εὐρώπην συμφερόντων πολιτικῶν τε ἅμα καὶ ἰδιωτικῶν, τῶν τε γνώσεων τῶν ἀνθρωπίνων καὶ τῆς εὐνομίας, εἴπέρ ποτε καὶ νῦν, πεπληθυσμένων, δι' ὁσίχου ὅμως ἑρμηνέως ἐξαγγελλομένων, οὐδέποτ' ἐπαυσάμεθα τὰ δοκοῦνθ' ἡμῖν ἀποφαινόμενοι ἔν τισι τῶν πραγματειῶν, ἃς γαλλιστὶ συνεταξάμεθα, ἔν τε τῇ Ὀρθοφωνίᾳ, καὶ τῇ Θεωρίᾳ τῆς γραμματικῆς, καὶ τῇ τοῦ Ἀριστοτέλους ῥητορικῆς μεταφράσει, καὶ τῇ τῶν ἐπιστολῶν τοῦ Παύλου. Φιλάνθρωπον γὰρ τὸ μὴ ἐθέλειν σιγῇ καὶ λήθῃ παραδοῦναι, ἅ τις κάτοιδε μὴ ἀξύμφορα τοῖς ἄλλοις ἐσόμενα, καθὰ δὴ καὶ μισάνθρωπον τὸ ταῦτ' ἐς τἀφανὲς ἐγκατορύττειν. Ἅπερ δὴ καὶ οἱ τῶν σοφῶν ἐπιεικέστεροι οὐκ ἀπεδοκίμασαν· οἷς τε μὴ ταὐτὰ ξυνέδοξεν, ἐφ' οἷς οὐκ ἀντεῖπον κατηγορικῶς, ξυνωμολόγησαν. Τὸ μὲν γὰρ ἀντιλέγειν παντὶ ἔξεστι, καὶ ἀσόφῳ, καὶ ἰδιωτεύοντι, τὸ δὲ ὀρθῶς, τοῖς σοφοῖς ταλαντεύεται· Πέποιθα μέντοι, τῆς Ἑλληνικῆς σοφίας ἐν Γαλλίᾳ προοδευούσης, διὰ τὴν ἐπιμέλειαν καὶ φιλοτιμίαν τῶν τῆς δημοσίου διδασκαλίας ὑπουργῶν καὶ Συμβουλίου, καὶ μάλιστα τοῦ νῦν ταύτην διαιτοῦντος σοφοῦ Βιλλεμαίνους, τὴν Καλλιόπην ἐπιστᾶσαν πιερίηθεν ἐπάσασθαι ἐναρμόνιον, καὶ τὰς ἀνὰ πᾶσαν τὴν Εὐρώπην Μούσας συναπηχήσειν τὸ ὁμοιόφθογγον.

Ἀλλὰ καταβάλλωμεν τὴν Προθεωρίαν ταύτην, ἐπιμνησθέντες φίλων τε καὶ σεβασμίων ἀνδρῶν, οἵπερ, τόγ' ἐφ' ἑαυτοῖς, κατὰ τὴν ἐμὴν ἀποστολὴν, ἀγαθοὶ ὄντες ἐφάνησαν,

ἠδὲ φιλόξενοι· ἦ γάρ σφιν νόος ἦν γε θεουδής,

πρὸς ἀνάσωσιν τῶν ἀπολλυμένων ἀρχαιοτήτων, καὶ τὴν ἐντεῦθεν

τοῖς πᾶσιν ἐσομένην ὠφέλειαν, ὁδηγήσαντες καὶ ὑποδείξαντες, ποῦ ἂν εἶεν ζητητέαι, καὶ λόγοις καὶ ἐπιστολαῖς συστησάμενοι. Φημὶ δὴ τὸν πατριαρχεύσαντα Γρηγόριον, καὶ τὸν νῦν Ἰωακεὶμ Ἰωανίνων, καὶ τὸν Διδοιμοτοίχου Βησσαρίωνα, τόν τε πρώην Δράμας, νῦν δὲ Δέρκων Νεόφυτον, καὶ τὸν Κασσανδρείας Ἰάκωβον, ἄνδρας τῷ Ἀνατολικῷ κλήρῳ τιμὴν φέροντας, οὐχ ἧττόν τε μαθήσει διαπρέποντας, καὶ δεινοὺς χρήσασθαι πράγμασιν· Οὐκ ἐπιλήσομαι δὲ καὶ τοῦ κατὰ Θεσσαλονίκην Μιχαὴλ Βάρδα, ὅς γε δι' ἐπιτροπικοῦ μοι γράμματος φροντιστὴς καταστὰς τοῦ παραλαβεῖν τὸν ἐν ταύτῃ τῇ πόλει ἐωνημένον μοι μνημεῖον, ὃ κατὰ τὴν Εὐρώπην κοινότερον Σαρκοφάγον λέγομεν, κατεπάλαισε τοὺς ἀντιζήλους, καὶ ἐδήλωσε καλῶς, ἐν τριάκοντι ἔτεσιν ἔχων τιμὴν ἑρμηνέως κατὰ τὸ Γαλλικὸν προξενεῖον, πιστότατα ὑπηρετήσας τῇ Γαλλίᾳ. Προσειρήσθων δὲ καὶ οἱ ἐκεῖ ἔντιμοι ἔμποροι αὐτάδελφοι Abbott. Τῷ δὲ ἐν Σέῤῥαις τῆς Μακεδονίας Θεοδώρῳ Δούμπα, καὶ πλείστη μοι χάρις ὀφείλεται ἐπὶ τῇ πρὸς ἐμὲ τῶν καλῶν προαιρέσει. Τοῦ δὲ ἐν Λιβούρνῳ μεγαλεμπόρου Κωνσταντίνου Τουσίσσα καὶ πάνυ ἄγαμαι τὸ εὐγενὲς φρόνημα, τοῖς ἀλλαχόσε φίλοις αὐτοῦ με συστήσαντος. Ἀγνωμοσύνης δ' ἁλώσομαι, ἤν περ σιγῇ παρέλθω καὶ τὸν χαριέστατον Γεώργιον Κωνσταντινιάδην Γραμματέα τοῦ Ἱεροσολύμων Πατριαρχείου, ὅς γε τῆς ἐν αὐτῷ βιβλιοθήκης καὶ ἀκριβῆ κατάλογον διὰ τῶν ὑπογραμματέων αὐτοῦ τῶν ἀντιγράφων κατελογίσατο.

Τοῖς δὲ τῶν ἱερῶν Μοναστηρίων, καὶ μάλιστα τῶν κατὰ τὸν Ἄθω, ὁσίοις καὶ μεγάλας οἶδα τὰς χάριτας, ὑποδεξαμένοις με φιλικώτατα. Καὶ εἰρήσθων μοι ἐν Λαύρᾳ μὲν ὁ προσκυνητὴς Γρηγόριος, καὶ ὁ Γραμματεὺς Μελχισεδὲκ, φίλων γεγονὼς

« ὄχ' ἄριστος, »

καὶ ἑλληνικῆς παιδείας εὖ ἥκων, καὶ πραγμάτων ἔμπειρος. Ἐν δ' Ἰβήρων Γαβριὴλ ὁ ἐλλόγιμος Γραμματεὺς σὺν τῷ πανοσιωτάτῳ Γρηγεντίῳ, καὶ ἀγαθῷ Προκοπίῳ τοῖς προεστηκόσι, καὶ Γεραρῷ Δανιήλ. Λέξω δὲ καὶ τὸν ἐν Χιλανταρίῳ, τὸν ἀμφοτεροδέξιον Εὐθύμιον,

σὺν τῷ καλῷ Γεδεῶνι. Οὐ δὲ δίκαιον σιγῇ παρελθεῖν τὸν ἐν ξηροποτάμῳ Πορφύριον τὸν ἐκ Χίου, καὶ τοὺς ἐν Δοχειαρείου, Μητροφάνην τε τὸν προεστῶτα, καὶ τὸν Μουσικὸν Κοσμᾶν· τούς τε Ἐσφιγμενίτας, τὸν ἰατρὸν, ἀγαθὸν Μακάριον, καὶ Ἀγαθάγγελον Ἡγούμενον, καὶ Ἀνανίαν τὸν πνευματικόν· καὶ τοὺς ἐν Ζωγράφου Ἰωαννίκιόν τε καὶ τοὺς λοιποὺς σὺν τῷ Γενναδίῳ. Οὗτοι γὰρ, καὶ οἱ λοιποὶ τῶν ἐν ταῖς ἄλλαις Μοναῖς, οὓς ἤδη παρίημι, πρὸς τῷ εὐμενεῖ τῆς ὑποδοχῆς, καὶ διὰ τιμῆς ἦγον· ὡς πολλάκις με συνειδότα τὸ, παρ' ἀξίαν, καὶ ὑποδεχόμενον, καὶ προπεμπόμενον, ἐπιλέγειν δακρύοντα τὸ,

« Μή τι θεοῖς ἀμπλακὼν,
« Τιμὰν παρ' ἀνθρώποις ἐφεῦρον;

Ὑμᾶς δὲ τοὺς ἐν τῇ Βατοπαιδίου, ἅπαντας μὲν, ἰδίως δὲ τὴν ὁσίαν δυάδα, σεβαστέ μοι Θεόκλητε, καὶ ἀγαπητὲ Νικηφόρε Γραμματεῦ, τί ἀγαθὸν εἰπὼν, ὀρθῶς ἂν προσείποιμι; Οἵγε καὶ εὖ ἔχοντα, ὡς ἀδελφὸν ὑπεδέχεσθε, καὶ νόσῳ δεινῇ προςπαλαίσαντα, οὐ μόνον ἐπεσκέπτεσθε παραμυθούμενοι, ὡς ὑπὸ τοῦ Σωτῆρος ἐντέταλται, ἀλλὰ καὶ συμπαρόντες περιεθάλπετε ὡς νοσσιὰν κινδυνεύουσαν, πλεῖον πατρὸς καὶ μητρὸς, ἐπιδεικνύμενοι τὸ φιλόστοργον; ἧς ἀγαθότητος μεμνημένον πολλάκις λύπη τε ἅμα καὶ γλυκυθυμία εἰςδύει με, ὡς φάναι καὶ δάκρυα· Ὑμᾶς μὲν οὖν ἅτε καὶ μείζω ἢ κατ' ἀρετὴν δρῶντας καὶ δράσαντας, μείζους καὶ ἀμοιβαὶ αἰώνιοι ἀπεκδέχονται· ἐγὼ δὲ τὰ καθ' ὑμᾶς διακηρύττων οὐ παύσομαι, ἔστ' ἂν τὸ περιέχον ἀναπνεύσω, καὶ τὸ εὔγνωμον ἕξω διὰ βίου ἀείμνηστον.

Ἐν Παρισίῳ
τῇ ιε' θαργηλιῶνος, ,αωμδ'.

ΜΗΝΑΣ Ο ΜΙΝΩ.

ΓΑΛΗΝΟΥ

ΕΙΣΑΓΩΓΗ ΔΙΑΛΕΚΤΙΚΗ.

ΓΑΛΗΝΟΥ

ΕΙΣΑΓΩΓΗ ΔΙΑΛΕΚΤΙΚΗ.

[Τῶν ὄντων τὰ μὲν αἰσθήσει καὶ νοήσει γινώ]σκομεν ἅπαντες ἄνθρωποι, τὰ δὲ νοήσει μόνῃ· καὶ ταῦτα (Α) [δὲ ἁπλῶς, ἄνευ τινὸς ἀποδείξεως· τὰ δὲ μή]τε αἰσθήσει, μήτε νοήσει γινωσκόμενα, δι' ἀποδείξεως [γινώσκεσθαι πέφυκε· καὶ ταύτης μέν τοιγε] ἐκ προεγνωσμένων εἶναι τὴν εὕρεσιν, οὐ μὴν ἁπλῶς γ' οὕτως, [οὐδὲ ἐκ τῶν μὴ προσηκόντων αὐτοῖς καὶ ἀλλοτρίων], ἀλλ' ἐκ τῶν οἰκείων ἀποδειχθησομένην· ἐπειδὴ καὶ ἐκ λόγου [τῶν ὁμολογηθέντων εἶναι ταύτην δέον, καὶ ἀνα]γκασθησόμενον τὸν λόγον τοῦτον ὑπὲρ ἑκάστου τῶν ἀπο-[δεικνυμένων, διά γε τὰ ὁμολογηθέντα ἤδη·] οἷον, εἰ οὕτως ἔτυχεν ἕνεκα [λόγου·] ὁμολογήσωμεν ἶσον εἶναι [Θέωνα τῷ Φίλωνι, καὶ Φίλωνα αὐτὸν ἶσον εἶναι] τῷ αὐτῷ Δίωνι· συμβήσεται γὰρ ἐκ τούτων ἶσον εἶναι

[ἑκάτερον θατέρῳ, καὶ ἀλλήλοις, διὰ τὸ ἀξίωμα] τὰ ταὐτῷ ἴσα καὶ ἀλλήλοις ὑπάρχειν ἴσα· καὶ τοίνυν ἡ ἀπό-[δειξις ἐκ τριῶν, δυοῖν δ' ὡμολογημένοιν πεπέραν]ται· πρώτου μὲν τοῦ πρώτου ῥηθέντος, ὅπερ ἦν, ἴσός ἐστι [Θέων τῷ Φίλωνι, δευτέρου δὲ μετ' αὐτὸ] Δίωνι Φίλων ἐστὶν ἴσος· καὶ τρίτου πρὸς τούτοις, τὰ [τοῦ ἀξιώματος, τὰ ταὐτῷ ἴσα καὶ ἀλλήλοις εἶναι ἴ]σα. Περανθήσεται δὲ ἐξ αὐτῶν, ἴσον εἶναι Θέωνα [τῷ Δίωνι· Καὶ τοῦτ' αὐτό ἐστι τὸ λεγόμ]ενον Συμπέρασμα. Λῆμμα δὲ, ἐξ ὧν ληφθέντων [πρόεισι τὸ ἀποδεικνύμενον· καὶ γὰρ] ὁμολογηθέντων τινῶν ἐπιφέρεταί τι συμπέρασμα, [ὅπερ περαίνει τὴν ἀπόδειξιν· ἔστι δὲ τοῦτ'] αὐτὸ καὶ Συλλογισμός· καὶ μὲν δὴ καὶ τὸ συμπέρασμα [ἐκ προτάσεων συλλελογισμένων, περὶ ὧν οὐκ ἄν τις ἀπ]ορήσειεν.

ΠΕΡΙ ΠΡΟΤΑΣΕΩΝ.

[Ὅτε δὲ βουλόμενοι ἀποδεικνύειν, προτει]νόμεθά τι περὶ τῆς τῶν ὄντων φύσεως, ὀνομαζέσθω πρότασις (Β)· [οὕτω δὲ καὶ τοῖς πάλαι διαλεκτικοῖς] ἔθος ἦν καλεῖν.

ΠΕΡΙ ΑΞΙΩΜΑΤΟΣ.

[Ὅτε δὲ σαφής τίς ἐστι καὶ οἴκοθεν] πιστὸς λόγος, ἀξίωμα κεκλήκασιν, ὡς (Γ)

τὰ τῷ αὐτῷ [ἴσα, καὶ ἀλλήλοις ἐστὶν ἴσα.]

ΠΕΡΙ ΔΙΑΦΟΡΩΝ ΠΡΟΤΑΣΕΩΝ.

[Ἔνιοι μὲν τὰς λεγομένας προτάσεις, καθάπερ καὶ τοὺς πισ]τοὺς λόγους ἀξιώματα προσαγορεύουσιν· οὐ διενεχθησοίμεθα δ' ἂν, τούτων τὰς θέσεις οὕτως ἀκούειν λεγόντων (Δ), ὡς ἐκεῖνοι βούλονται, λέγομεν δ' αὐτοὶ περὶ κατηγορικῶν προτάσεων· τούτων οὖν ἔνιαι μὲν ὑπὲρ ἁπλῆς ὑπάρξεως ἀποφαίνονται, καθάπερ ὁποῖαι (1)·

εἴπερ πρόνοιά ἐστιν·
ἱπποκένταυρος οὐκ ἔστιν αἴνιγμα·

ἢ καθάπερ αἱ τοιαίδε·

ὁ ἀὴρ σῶμά ἐστιν·
ὁ ἀὴρ οὐκ ἔστι σῶμα·

ὑπὲρ δὲ τοῦ μεγέθους,

ὁ Ἥλιος οὐκ ἔστι ποδιαῖος·

ἔνιαι δὲ ὑπὲρ τῆς ποιότητος,

ὁ Ἥλιος οὐκ ἔστι θερμός·

ἔνιαι δὲ ὑπὲρ τοῦ πρός τι,

μείζων ὁ Ἥλιος τῆς σελήνης,

(1) Ἐγράφετο, ὁποῖοι.

ἔνιαι δὲ ὑπὲρ τοῦ πότε,

> κατὰ τὰ Πελοποννησιακὰ γέγονεν ὁ Ἱπποκράτης·

ἔνιαι δὲ ὑπὲρ τοῦ ποῦ,

> δεύτερος ἀπὸ γῆς ἐστιν ὁ Ἥλιος·
> οὐκ ἔστι δεύτερος ἀπὸ γῆς ὁ Ἥλιος·

τινὲς δὲ ὑπὲρ τοῦ κεῖσθαι·

> καθήμενόν ἐστι τὸ τοῦ Διὸς ἐν Ὀλυμπιάσιν ἄγαλμα·
> δέδεται τὸ τοῦ Διὸς ἄγαλμα·

τινὲς δὲ ὑπὲρ τοῦ ποιεῖν,

> θερμαίνει τὸ ῥόδινον,
> οὐ θερμαίνει τὸ ῥόδινον·

ἔνιαι δὲ περὶ τοῦ πάσχειν·

> θερμαίνεσθαι πεφύκαμεν ὑπὸ τοῦ ῥοδίνου,
> οὐ θερμαίνεσθαι πεφύκαμεν ὑπὸ τοῦ ῥοδίνου:

τὰς τοιαύτας οὖν προτάσεις ἁπάσας κατηγορικὰς ὀνομάζομεν, ἕνεκα σαφοῦς τε ἅμα καὶ συντόμου διδασκαλίας· τὰ μέρη δὲ ἐξ ὧν σύγκεινται καλοῦμεν ὅρους.

ΠΕΡΙ ΟΡΩΝ

ΠΩΣ ΔΕΙ ΔΙΑΙΡΕΙΝ ΟΡΟΥΣ.

Ἑπόμενοι τοῖς ἐν τῇ παλαιᾷ συνηθείᾳ· οἷον ἐν τῇ,

Δίων Περιπατεῖ·

τόν τε Δίωνα, καὶ τὸ Περιπατεῖν, ὑποκείμενον μὲν ὅρον τὸν Δίωνα, κατηγορούμενον δὲ, τὸ περιπατεῖν λαμβάνομεν· Ὅταν μὲν οὖν ἐξ ὀνόματος ᾖ καὶ ῥήματος ἡ Πρότασις, οὕτω χρὴ, διαιρεῖν τοὺς ὅρους· ὅταν δὲ ἐξ ὀνομάτων καὶ ῥήματος, οἷον (Ε),

Δίων ἄνθρωπός ἐστιν,

ὑποκεῖσθαι μὲν ἐροῦμεν τὸν Δίωνα, κατηγορεῖσθαι δὲ, τὸν ἄνθρωπον, ἔξωθεν δὲ προσκατηγορεῖσθαι Ἐπίῤῥημα*, τὴν κοινωνίαν τῶν ὅρων ἐνδεικνύμενον. Ὅταν μὲν οὖν ἐπὶ Δίωνός τι κατηγορῶμεν, οὐκ ἐγχωρεῖ λέγειν, οὔτε πᾶς, οὔτε τὶς, ὅταν δ' ἐφ' ἑτέρου πράγματος, ὃ τέμνεσθαι δύναται καθάπερ ἐπ' ἀνθρώπου καὶ δένδρου, διωρίσθαι χρὴ κατὰ τὸν λόγον, εἴτε παντὸς αὐτοῦ κατηγορεῖται τὸ κατηγορούμενον, εἴτε τινός· ὡσαύτως δὲ καὶ εἰ παντὸς ἢ τινὸς ἀποφάσκεται. Καὶ τοίνυν αἱ προτάσεις, αἱ μὲν ἅμα τῷ πᾶς λεγόμεναι, καθόλου καταφατικαὶ καλείσθωσαν (Ϛ'), ὡς ἂν εἰ εἴποιμεν,

πᾶς ἄνθρωπος ζῷόν ἐστι·
Πᾶσα Πλάτανος δένδρον ἐστίν·

Αἱ δὲ ἀποφάσεις, παντὸς τοῦ γένους κατηγορούμεναι, Ἀποφατικαί τε καὶ Στερητικαὶ καθόλου προσαγορευέσθωσαν· ὡς ὅταν εἴπωμεν,

οὐδεὶς ἄνθρωπος γραπτός ἐστιν·

Ὅσαι δὲ οὔτε κατήγοροῦσιν οὔτε ἀποφάσκουσιν ὅλου τοῦ γένους, ἐν μέρει καλείσθωσαν, ὡς ἐπὶ μέρους, Καταφατικὴ μὲν ἡ τοιαύτη·

τὶς ἄνθρωπος ζῷον·

Ἀποφατικὴ δὲ ἡ τοιάδε,

τὶς ἄνθρωπος οὐκ ἔστι ζῷον·

Ἶσον δὲ δυναμένη τῇ τελευταίᾳ προτάσει τῇ τοιᾷδε,

οὐ πᾶς ἄνθρωπος ζῷόν ἐστιν.

Ἀποφατικὴν ἐν μέρει καὶ ταύτην ὀνομάζομεν. Ὅταν δὲ οὐσίας ὡρισμένης, οὐ κατὰ τὸ εἶδος μόνον, ἀλλὰ καὶ κατὰ τὸν ἀριθμὸν κατηγορῶμέν τι, τότε οὐκ ἐγχωρεῖ λέγειν, οὐδὲ τὸ, πᾶς, οὐδὲ τὸ, τὶς, οὐδὲ τὸ, οὐπᾶς, οὐδὲ τὸ οὐδείς· ἐν γοῦν τῇ,

Δίων ἄνθρωπός ἐστιν,

οὐδὲν τῶν εἰρημένων οἷόν τε προσεῖναι.

Γένος ἄλλο Προτάσεων ἐστιν, ἐν αἷς τὴν ἀπόφασιν οὐ περὶ τῆς ὑπάρξεως ποιούμεθα τῶν πραγμάτων, ἀλλὰ περὶ τοῦ, τίνος ὄντος, τί ἐστι· καὶ τίνος οὐκ ὄντος, τί ἐστιν· ὑποθετικαὶ οὖν ὀνομαζέσθωσαν αἱ τοιαῦται Προτάσεις· Αἱ μὲν, ὅταν τινὸς ἑτέρου ὄντος, ἐξ ἀνάγκης εἶναι λέγωσι τόδε τι κατὰ συνέχειαν· αἱ δὲ, ὅταν ἤτοι μὴ ὄντος εἶναι, ἢ μὴ ὄντος μὴ εἶναι, Διαιρετικαί· λέγειν δὲ εἶναι, ἢ ὑπάρχειν οὐδὲν διαφέρει παρὰ τοῖς ἄλλοις ἓν ὂν (1) ἅπασι, τοῖς τε νῦν καὶ τοῖς παλαιοῖς, ὥσπερ οὐδὲ τὸ ὑφεστηκέναι· παρὰ τοῖς νῦν γὰρ καὶ τοῦτο κατὰ τῆς αὐτῆς ἐννοίας λέγεται (2). Ἐπὶ δὲ τῶν αἰσθητῶν πραγμάτων ἔχομεν μνήμας, ὅταν μὲν κινήσεις ταύτας ποιησώμεθα, καθάπερ εἰ τύχοι, ἐπ' Ἀθηναίων, ὀνομαζέσθω τοῦτο ἡμῖν νόησις· ὅταν δὲ ἡσυχάζουσαι τύχωσιν, ἔννοιαι· τοιαῦται δ' εἰσὶ καὶ ἄλλαι, οὐκ ἐκ μνήμης τῶν αἰσθήσεων, ἀλλ' ἔμφυτοι (Z) πᾶσιν ὑπάρχουσαι· καλοῦσι δὲ αὐτὰς οἱ παλαιοὶ τῶν φιλοσόφων, ὅταν ἑρμηνεύωνται διὰ φωνῆς, ἀξίωμα.

Πολλάκις μέντοι, καὶ τὴν ἔννοιαν νόησιν ὀνομάζουσιν οἱ Ἕλληνες, μάλιστα μὲν οὖν, ἐπειδὰν ὑπάρχον τι πιστεύηται δι' ἕτερον ὑπάρχειν ἢ κατὰ τὴν συνέχειαν, ὑποθετικὴ

(1) Ἀντὶ τοῦ ἓν ὂν, ἐγράφετο ἵνα ἐν τῷ ἀντιγράφῳ.

(2) Ἐγράφετο, λέγουσιν.

πρὸς τῶν παλαιῶν φιλοσόφων ὀνομάζεται πρότασις· ἤδη δὲ μέντοι καὶ ἐπειδὰν, διότι μή ἐστι τόδε, εἶναι τόδε νοῶμεν, οἷον,

νὺξ οὐκ ἔστιν ἡμέραν εἶναι·

Μάλιστα μὲν οὖν ὀνομάζουσι τὴν τοιαύτην πρότασιν Διαιρετικήν (Η)· οὐ μὴν ἀλλὰ καὶ διαζευγμένον ἀξίωμα τισὶ τῶν νεωτέρων φιλοσόφων ὀνομάζεται· καθάπερ γε καὶ συνημμένον τὸ ἕτερον εἶδος τῆς Προτάσεως, τῶν ὑποθετικῶν, ἃς κατὰ συνέχειαν ἐλέγομεν γίγνεσθαι· οἰκειοτάτη δέ ἐστι λέξις, τὸ τὰ διεζευγμένα τοῖς ἀξιώμασιν, ἃς δηλονότι Διαιρετικὰς προτάσεις ἔφαμεν ὀνομάζεσθαι, διὰ τοῦ ἤτοι συνδέσμου· διαφέρει δὲ οὐδὲν, ἢ διὰ μιᾶς συλλαβῆς λέγειν, ἢ διὰ δυεῖν· ὅτι τοῖς συνημμένοις διὰ τοῦ εἰ, εἴπερ, ἃ καὶ οὗτοι σημαίνουσιν, ὡς ὀνομάζεσθαι, τὸν μὲν τοιοῦτον λόγον,

εἰ ἡμέρα ἐστὶν, ὁ ἥλιος ὑπὲρ γῆν ἐστι,

Συνημμένον ἀξίωμα, κατά γε τοὺς νεωτέρους φιλοσόφους, κατὰ μέντοι τοὺς Παλαιοὺς, Πρότασιν ὑποθετικὴν κατὰ συνέχειαν· τοὺς δέ γε τοιούτους,

ἤτοι ἡμέρα ἐστὶν, ἢ νύξ ἐστιν,

Διεζευγμένον μὲν ἀξίωμα παρὰ τοῖς νεωτέροις φιλοσόφοις, Πρότασιν δὲ ὑποθετικὴν κατὰ διαίρεσιν

παρὰ τοῖς παλαιοῖς· ἴσον δὲ ἡ Διαιρετικὴ Πρότασις δύναται τῷ τοιούτῳ λόγῳ,

εἰμὴ ἡμέρα ἐστὶν, νύξ ἐστιν,

ὃν ἐν σχήματι λέξεως, Συνημμένον λεγόμενον· Ὅσοι μὲν ταῖς φωναῖς μόνον προσέχουσι, Συνημμένον ὀνομάζουσιν, ὅσοι δὲ τῇ φύσει τῶν πραγμάτων διεζευγμένον· Ὡσαύτως δὲ καὶ τὸ τοιοῦτον εἶδος τῆς λέξεως,

εἰ μὴ νύξ ἐστιν, ἡμέρα ἐστὶ,

Διεζευγμένον ἐστὶν ἀξίωμα τῇ φύσει τῶν πραγμάτων αὐτῇ, Συνημμένου δὲ ἰδέαν ἔχει τῇ λέξει.

Ἡ μὲν οὖν τοιαύτη φύσις τῶν πραγμάτων τελείαν ἐνδείκνυται τὴν μάχην, ἡ δὲ ἑτέρα τὴν ἐλλειπῆ, καθ' ἣν οὐδέπω λέγομεν,

ἐν Ἀθήνῃσίν ἐστι Δίων,
οὐκ ἔστιν (Θ) ἰσθμοῖ Δίων·

ἡ γάρ τοι μάχη κοινὸν μὲν ἔχει τὸ μὴ οὐχ ὑπάρχειν τὰ μὴ συμμαχόμενα· διαφέρει γὰρ, τῷ τινὰ μὲν πρὸς τῷ μὴ συνυπάρχειν, μηδὲ συναπόλλυσθαι δύνασθαι, τισὶ δὲ καὶ τοῦθ' ὑπάρχειν· Ὅταν οὖν ἓν μόνον αὐτοῖς τὸ μὴ συνυπάρχειν, ἐλλειπής ἐστιν ἡ μάχη, ὅταν δὲ μὴ τοῦτο, τὸ [δὲ] συναπόλλυσθαι, τελεία· τῶν γὰρ τοιούτων πραγμάτων, ἀνάγκη δυοῖν θάτερον μὴ οὐκ εἶναι· διὸ καὶ Συλλογισμὸς

αὐτοῖς διττός, εἰ μὲν προσληφθείη τὸ, ἡμέραν εἶναι περαινόμενον, τοῦ (I) μὴ εἶναι νύκτα· Προσληφθέντος (1) δὲ τοῦ μὴ εἶναι ἡμέραν, τοῦ νύκτα εἶναι· κατὰ δὲ τὴν ἐλλειπῆ μάχην ἓν μόνον προσλαμβανόντων, κατὰ δὲ τὴν τελείαν μάχην, ἀναγκαῖον θάτερον· ὃ δ' ἂν οὕτω προσλαμβάνῃς ἀξίωμα (IA), Πρόσληψις εἰκότως ὀνομάζεται· Ἐπὶ μὲν τῆς ἐλλειποῦς μάχης ἐν ἔθει τοῖς Ἕλλησίν ἐστιν οὕτω λέγειν.

Ἀθήνῃσί τε καὶ ἰσθμοῖ Δίων·

ἐνδεικτικὴν δὲ ἕξει τὴν τοιαύτην φωνὴν, ὅσον γ' ἐκ τῆς ἐλλειποῦς μάχης· εἰ δὲ ἐφ' ἑτέραν (2) λέγοιτο φωνὴν, μήτε ἀκολουθίαν ἔχοι πρὸς ἄλληλα, μήτε μάχην ἀποφατικὴν, Συμπεπλεγμένον καλεῖται τὸ τοιοῦτον ἀξίωμα· καθάπερ ἐπὶ τοῦ,

Δίων Περιπατεῖ, καὶ Θέων διαλέγεται·

Ταυτὶ γὰρ οὔτε μάχην, οὔτ' ἀκολουθίαν ἔχοντα, κατὰ συμπλοκὴν ἑρμηνεύει. Διὸ κἀπειδὰν ἀποφάσκωμεν αὐτὰ, τὸν λόγον ἐκεῖνον, ἤτοι ἀποφατικὴν συμπλοκὴν, ἢ ἀποφατικὴν εἶναι συμπεπλεγμένην φήσομεν· οὐδὲν γὰρ πρὸς τὸ παρὸν διαφέρει, συμπεπλεγμένην λέγειν ἀποφατικὴν, ἢ συμπλοκὴν ἀποφατικὴν, ἔχοντος

(1) Ἐγράφετο, προληφθέντων.
(2) Ἐγράφετο, ἑτέρων.

γέ σου σκοπὸν ἐν ἁπάσῃ λέξει, τὸ δηλῶσαι τοῖς πέλας, ὅ, τι περ' ἂν αὐτὸς ἐννοῇς.

Ἀλλ' οἱ περὶ Χρύσιππον κἀνταῦθα τῇ λέξει μᾶλλον, ἢ τῷ πράγματι προσέχουσι τὸν νοῦν· καὶ ἅπαντα τὰ διὰ τῶν συμπλεκτικῶν καλουμένων συνδέσμων συνιστάμενα, κἂν ἐκ μαχομένων, ἢ ἀκολούθων, Συμπεπλεγμένα καλοῦσιν· ἐν οἷς μὲν ἔγκειταί τις ἀκρίβεια διδασκαλίας, ἀμελῶς χρωμένοις τοῖς ὀνόμασιν· ἐν οἷς δὲ οὐδὲν διαφέρον αἱ φωναὶ σημαίνουσιν, αὐτοὶ μόνοι αἰτοῦνται ἴδια σημαινόμενα (ΙΒ). Καίτοι οὐχ οὕτως ἔδει χρῆσθαι τοῖς ὀνόμασιν, εἴπερ ἑλληνίζειν τε καὶ σαφεῖς εἶναι τοῖς ἀκούουσι βούλοιντο· αὐτίκα γε τὸ ἀκόλουθον, ἐάν τε οὕτως, ὡς εἴρηται νῦν λέγῃς, ἐάν τε ἑπόμενον ἢ συνημμένον, οὐ διοίσει· ἅπαντα γὰρ τὰ τοιαῦτα λεκτὰ τῶν ὀνομάτων, ἐκ μεταφορᾶς ἀπὸ τῶν κυρίως κατὰ τὸν βίον ὠνομασμένων, συνῆφθαί τε καὶ συνηρτῆσθαι. Κατὰ πολλοὺς δὲ τρόπους γίνεται τοῦτο, περὶ ὧν ἐπισκέψασθαι τῆς Ἀποδεικτικῆς ἐστι· καὶ ὥσπερ γε καὶ τὸ μάχεσθαι κατὰ πολλοὺς γίγνεται τρόπους, ἀλλὰ νῦν γε τὰς προσηγορίας αὐτῶν διαιρούμεθα.

Καὶ τοίνυν ἕνεκα σαφοῦς τε ἅμα καὶ συντόμου διδασκαλίας, οὐδὲν κωλύει τὰ μὲν τὴν τελείαν μάχην ἔχοντα Διεζευγμένα καλεῖν· τὰ δὲ τὴν ἐλλειπῆ παραπλησίως Διεζευγμένα· παραπλήσια δὲ λέγειν ἢ ὅμοια, διαφερέτω μηδέν· Ἔνιοι [δ' ὡς ἔφαμεν ταύτας, συνημμένον ἀξίωμα, καὶ διεζευγμένον ἀξίωμα ἐκάλεσαν·

τὰ τοιάδε] δ' ἀξιώματα, ἐγχωρεῖ μὲν εἶναι καὶ πλείω, καὶ πάντα, καὶ μὴ μόνον ἓν, ἀναγκαῖον δ' ἐστὶ τὸ (ΙΓ) συνυπάρχειν. Ὀνομάζουσι δ' ἔνιοι τὰ τοιαῦτα Παραδιεζευγμένα, τῶν Διεζευγμένων ἓν μόνον ἐχόντων ἀληθὲς, ἄν τ' ἐκ δυοῖν ἀξιωμάτοιν ἁπλῶς, ἄν τ' ἐκ πλειόνων συγκέηται· ἓν μὲν γὰρ ἁπλοῦν ἀξίωμα, τὸ,

Δίων Περιπατεῖ·

καθάπερ γε καὶ τὸ,

κάθηται Θέων·

ἓν δὲ ἀξίωμα καὶ τὸ,

κατάκειται Δίων·

ὥσπερ γε καὶ τὸ τρέχει, καὶ τὸ ἕστηκεν· ἀλλ' ἐξ ἁπάντων αὐτῶν Διεζευγμένον ἀξίωμα γίνεται τοιόνδε,

Δίων ἤτοι Περιπατεῖ, ἢ κάθηται,
ἢ κατάκειται, ἢ τρέχει, ἢ ἕστηκεν.

Ὅταν δὲ οὕτω τι συγκείμενον, ἢ ἓν μὲν ἐν αὐτοῖς ὁτιοῦν ἑκάστῳ τῶν ἄλλων μάχηται μάχην ἐλλειπῆ, τὰ πάντα δὲ, ἀλλήλοις, ἅμα τε ὅλον, ἐπειδήπερ ἀναγκαῖόν ἐστιν, ἓν μὲν ὑπάρχειν, τὸ ἐν αὐτοῖς, οὐχ ὑπάρχειν δὲ τὰ ἄλλα (ΙΔ). Κατὰ μὲν οὖν τὴν τελείαν μάχην, δύο συνίστανται συλλογισμοὶ, προσλαμβανόντων ἡμῶν ἤτοι τὸ ὑπάρχειν, ἢ μὴ

ὑπάρχειν, ἢ τὸ ἕτερον αὐτῶν, ἐπιφερόντων δ' ἑκάτερον· οὐχ ὑπάρχειν δὲ, ὅταν οὐχ ἁπλῶς· κατὰ δὲ τὴν ἐλλειπῆ, μία μὲν ἡ πρόσληψις, ἕν τε των μαχομένων ὑπάρχειν· ἓν δὲ καὶ τὸ συμπέρασμα ὑπάρχειν λοιπόν· Οὕτω μὲν ὅταν ἐκ δυοῖν ἡ μάχη συνέστηκε.

Πλειόνων δὲ τῶν μαχομένων ὄντων, ἐπὶ μὲν τῆς τελείας μάχης, ἤτοι γε ἓν ὑπάρχειν εἰπόντες, ἀποφήσομεν τὸ λοιπὸν ἅπαν, ἢ ἐκεῖνο πᾶν ἀποφήσομεν ὑπάρχειν, ἐροῦντες τὸ ἕν· οὐ μὴν οὐδὲ ἀποφήσαντες τὸ ἓν, εἰάσαμεν ὑπάρχειν τὸ λοιπὸν, οὔτε καταφήσαντες ἐκεῖνο, τὸ ἓν ὑπάρχειν. Ὅτι ἓν ἐπὶ τῆς ἐλλειποῦς μάχης ὑπάρχειν εἰπόντες, ἀποφήσομεν τὸ λοιπὸν πλῆθος, οὐ μὴν ἄλλην γέ τινα πρόσληψιν ἕξομεν ἐπιτηδείαν εἰς συλλογισμόν.

Ἐπὶ δὲ τῆς κατὰ συνέχειαν ὑποθετικῆς Προτάσεως, ἣν οἱ περὶ τὸν Χρύσιππον ὀνομάζουσι Συνημμένον ἀξίωμα, προσλαβόντες μὲν τὸ ἡγούμενον, ἕξομεν τὸ λῆγον συμπέρασμα, προσλαβόντες δὲ τὸ τοῦ λήγοντος ἀντικείμενον, ἕξομεν συμπέρασμα τὸ τοῦ ἡγουμένου ἀντικείμενον· οὐ μὴν οὔτε τὸ λῆγον προσλαβόντες, οὔτε τὸ ἀντικείμενον τοῦ ἡγουμένου συμπέρασμα ἕξομεν (ΙΕ). Ἀντικεῖσθαι δὲ ἀλλήλοις συμπέρασμα καὶ πρότασιν ὀνομάζομεν· ἔστι [γὰρ] τελεία μάχη· καὶ χρὴ πάντως αὐτῶν εἶναι μὲν τὸ ἕτερον, οὐκ εἶναι δὲ θάτερον. Ἐπὶ μὲν οὖν τῶν ὑποθετικῶν Προτάσεων, ἀπόφασις πλεονεκτεῖ τὸ ἕτερον αὐτῶν· ἐπὶ δὲ τῶν κατηγορικῶν, ἔνθα μὲν πρόσκειται τὸ πᾶσιν ἅμα, ἀπόφασις τούτων· κατὰ δὲ τὴν

Σωκράτης περιπατεῖ,

τοῦ κατηγορουμένου προτάξομεν τὴν ἀπόφασιν· ὡς γενέσθαι τὸν λόγον τοιόνδε

Σωκράτης οὐ περιπατεῖ.

Τῆς δὲ καθόλου Στερητικῆς, οὐ δεησόμεθα προτάττειν ἀπόφασιν ἀντικειμένην, ἔχοντες αὐτὴν ἐν μέρει Καταφατικήν· ὥσπερ γε καὶ τῆς τοιαύτης, τὴν καθόλου Στερητικήν· ὥστε ταύτην ἀποφατικὴν (1) προτάξομεν· Ὀνομάζονται δὲ αἱ τοιαῦται προτάσεις ἅπασαι Σύνοροι, διότι κοινωνοῦσι τοῖς ὅροις ἀτοκίας, στρέφουσαι μὲν αὐτῶν πρὸς ἀλλήλας κατὰ τὴν ἐνάλλαξιν τῆς λέξεως τῶν ὅρων· τουτέστιν, ὅταν μὲν ὑποκείμενος γένηται ὁ κατηγορούμενος, ὁ κατηγορούμενος δὲ ὑποκείμενος ἀντιστρέφῃ. Αἱ δὲ μετὰ τῆς τοιαύτης ἐναλλάξεως συναληθευόμεναι, ἡ μὲν καθόλου Στερητικὴ, πρὸς ἑαυτὴν, ὥσπερ γε καὶ ἡ κατὰ μέρος Καταφατικὴ, πρὸς τὴν ἐν μέρει· λοιπὸν δὲ ἡ κατὰ μέρος Ἀποφατικὴ πρὸς οὐδεμίαν ἀντιστρέφει.

Κατὰ μέντοι τὰς ὑποθετικὰς προτάσεις, ἡ μὲν ἀναστροφὴ γίνεται τῆς λέξεως τῶν ὅρων ὑπαλλαττομένης· ἡ δὲ ἀντιστροφὴ, μετὰ ἀντιθέσεων αὐτῶν (ΙϚʹ). Τὸ γὰρ

εἰ ἡμέρα ἐστὶ, φῶς ἐστιν,

(1) Ἐγράφετο, ἀποφαίνειν.

ἀναστρέφει εἰς τὸ,

εἰ φῶς ἐστιν, ἡμέρα ἐστί·

τοιαύτη μὲν ἐν ταῖς προτάσεσιν ἡ ἀναστροφή.

Συλλογισμοὶ δὲ ἀλλήλοις ἀντιστρέφουσιν οἱ διλήμματοι· ὧν ἓν λῆμμα κοινόν· τὸ δὲ κοινὸν, ἣ καθ' ἕτερον ἀντίκειται τῷ τοῦ λοιποῦ συμπεράσματι, [ἢ κατὰ τὰ λοιπά]· κατὰ δὲ τοὺς πολλοὺς, λήμματα, τοὺς οὐχ ἁπλουστέρους· οὐ μὴν ἀλλὰ ἓν λῆμμα· ἀλλὰ προσθήσομεν οἱ εἰς πλείω τὸν ὅλον λόγον ποιοῦντες τοιοῦτον.

Ἀντιστρέφει δὲ λόγος λόγῳ, ὧν ἓν ἢ πλείω λήμματα κοινωνεῖ, τὰ δὲ λοιπὰ ὁμοῦ ἀντίκειται τῷ τοῦ λοιποῦ συμπεράσματι, καὶ μόνον κατὰ τὸν τρόπον ὁμοίως ἔχει· Ὀνομάζουσι δὲ τρόπον οἱ διαλεκτικοὶ,

τὰ τῶν λόγων σχήματα·

οἷον ἐπὶ μὲν τοῦ ἑπομένου καὶ τοῦ ἡγουμένου, τὸ λῆγον περαίνοντα. Ἐν ᾧ Χρύσιππος ὀνομάζει, πρῶτον ἀναπόδεικτον· ὁ τοιοῦτος τρόπος ἐστὶν·

εἰ τὸ α, τὸ ϐ·
τὸ δὲ α,
τὸ ἄρα β.

Ἐπὶ δὲ τοῦ ἐκ συνημμένου ἀντικειμένου, εἰς ὃ λήγει, τὸ τοῦ ἡγουμένου ἀντικείμενον ἐπιφέροντος, ὃν καὶ αὐτὸν ὁ Χρύ-

σιππος δεύτερον ἀναπόδεικτον ὀνομάζει· τοιοῦτος δ' ἐστὶν,

εἰ τὸ α, τὸ β·
οὐχὶ δὲ τὸ δεύτερον,
οὐκ ἄρα τὸ πρῶτον·

ὥσπερ γε κἀπὶ τοῦ τρίτου· κατὰ τοῦτον, ὃς ἐξ ἀποφατικοῦ συμπεπλεγμένου, καὶ ἑνὸς τῶν ἐν αὐτῷ τὸ ἀντικείμενον τοῦ λοιποῦ παρέχει. Τοιοῦτος ὁ τρόπος ἐστίν·

οὐχ ὑπὸ τοῦ α καὶ τοῦ β·
[ὑπὸ δὲ τοῦ α·
οὐκ ἄρα ὑπὸ τοῦ β·]

ὁμοίως δὲ κἀπὶ τοῦ τετάρτου κατὰ τῶν αὐτῶν, ὅσα ἐκ διεζευγμένου καὶ ἑνὸς τῶν ἐν αὐτῷ, τοῦ λοιποῦ τὸ ἀντικείμενον ἐπιφέρει. Τοιοῦτός τις ὁ τρόπος ἐστιν·

ἤτοι τὸ α, ἢ τὸ β,
τὸ δὲ α (1),
οὐκ ἄρα τὸ β·

καὶ τοίνυν κἀπὶ τοῦ πέμπτου, ὁ διεζευγμένος καὶ τοῦ ἀντικειμένου, ἐν ᾧ τῶν ἐν αὐτῷ τὸ λοιπὸν ἐπιφέρει. Τοιοῦτος δέ ἐστιν ὁ τρόπος·

(1) Ἐγράφετο, εα.

ἤτοι τὸ α ἢ τὸ β.
[οὐχὶ δὲ τὸ β
τὸ ἄρα α.]

Καὶ τοίνυν, ὥσπερ τὰ λήμματα συναληθεύεται κατὰ τὰς ἀντιστροφὰς, οὕτω καὶ τοῖς ἀληθέσι λόγοις καὶ τρόποις, ὑπάρχει συλλογιστικοῖς εἶναι· ὥστε τὸν ἀντιστρέφοντα τῷ συλλογιστικῷ τρόπῳ, συλλογιστικὸν εἶναι καὶ αὐτόν· Ἐπὶ μὲν οὖν τῶν ὑποθετικῶν προτάσεων, ὅνπερ τρόπον οἱ συλλογισμοὶ γίνονται δέδεικται· πλὴν ἑνὸς τρόπου τοῦ κατὰ τὸ παρασυνεζευγμένον, ἐφ᾽ οὗ δ᾽ ἤτοι τῶν Προσλήψεών ἐστιν ἡ διαφορά· ἤτοι γὰρ οὐχ ὑπάρχειν ἅπαντα πλὴν ἑνὸς προσλαβόντες ὑπάρχειν ἐροῦμεν ἐκεῖνα, ἢ τὸ ἓν πλείω καταλίποιτο ὂν, καὶ τὸ ἓν, Διεζευγμένον ἐξ αὐτῶν ἔσται συμπέρασμα.

Κατὰ μέντοι τοὺς τοιούτους Συλλογισμοὺς αἱ Προτάσεις (καλοῦνται) ἡγεμονικαὶ τῶν Προσλήψεων· οὔτε γὰρ ἐν τῷ διεζευγμένῳ, κατὰ δὲ ἐλλειπῆ μάχην ἓν μόνον οἷόν τε προσλαμβάνειν· ἅπερ οἱ Περὶ Χρύσιππον, οὐχ ἡγεμονικὰ μόνον, ἀλλὰ καὶ τροπικὰ τὰ τοιαῦτα τῶν ἀξιωμάτων ὀνομάζουσιν, ὡς ἂν ἐπ᾽ αὐτοῖς ὅλου τοῦ συλλογισμοῦ πηγνυμένου ὡς ἐπὶ τρόπιδι ναῦς (ΙΖ).

Καὶ μέντοι, καὶ τῶν ἐκ τοῦ Περιπάτου τινὲς, καθάπερ καὶ Βόηθος, οὐ μόνον ἀναποδείκτους ὀνομάζουσι τοὺς ἐκ τῶν ἡγεμονικῶν λημμάτων Συλλογισμοὺς, ἀλλὰ καὶ Πρώτους· ὅσοι δὲ ἐκ τῶν κατηγορικῶν Προτάσεών εἰσιν

ἀναπόδεικτοι Συλλογισμοὶ, τούτους οὐκέτι Πρώτους ὀνομάζειν συγχωροῦσι. Καίτοι (1) καθ' ἕτερόν γε τρόπον, οἱ τοιοῦτοι πρότεροι τῶν ὑποθετικῶν εἰσιν, εἴπερ γε καὶ αἱ Προτάσεις αὐτῶν ἐξ ὧν σύγκειται, πρότεραι βεβαίως εἰσίν· οὐδεὶς γὰρ ἀμφισβητήσει μὴ οὐ πρότερον εἶναι τὸ ἁπλοῦν τοῦ συνθέτου.

Ἀλλὰ περὶ μὲν τῶν τοιούτων ἀμφισβητήσεων, οὔτε εὑρεῖν οὔτε ἀγνοῆσαι μέγα· χρὴ γὰρ ἀμφότερα τὰ μέρη γινώσκειν τῶν Συλλογισμῶν· καὶ τοῦτ' ἐστὶ τὸ χρήσιμον· ὀνομάζειν δὲ τοὺς ἑτέρους, ἢ διδάσκειν προτέρους (ΙΗ), ὡς ἑκάστῳ φίλον· οὐ μὴν ἐκείνοις γε ἀγνοεῖσθαι προσῆκεν· ὅσοι δὲ ὑποθετικοὶ Συλλογισμοὶ τὴν πρόσληψιν ἀναγκαίαν ἔχουσιν· οἱ Κατηγορικοὶ δὲ, οὐκ ἔχουσιν· ὁ γάρ τοι εἰπὼν (2)

ἅπαν καλὸν, αἱρετόν ἐστιν,

ἀναγκαῖον μὲν ἔχει πρὸς τὸ γενέσθαι τινὰ Συλλογισμὸν, ἤτοι τὸ καλὸν ἢ τὸ αἱρετὸν ἐν τῇ δευτέρᾳ Προτάσει παραλαμβάνειν· οὐ μὴν οὔτ' ἐν τῇ κατὰ θάτερα Προτάσει παραλαμβάνει· οὐκοῦν οὔτε καταφάσκει, οὔτε ἀποφάσκει τι ἐξ ἀνάγκης (ΙΘ), οὔτε μόνον ὡς ἐν ταῖς ὑποθετικαῖς· ἀλλὰ μεθ' ὅτου περ ἂν ἑτέρου συμπλέκειν αὐτὸ βουληθῇ. Δυνατὸν

(1) Ἐγράφετο, καὶ τοῖς.

(2) Ἐγέγραπτο· ὁ γὰρ σιωπῶν.

μὲν γὰρ αὐτῷ (1), καὶ τοιαύτην Πρότασιν τῇ Προτέρᾳ προσθέντι ποιῆσαι Συλλογισμόν·

Πᾶν αἱρετὸν, ἀγαθόν ἐστιν·

ἔσται γὰρ ὁ Συλλογισμὸς,

ἅπαν καλὸν αἱρετὸν, ἀγαθόν ἐστι.

Δυνατὸν δὲ καὶ πᾶν καλὸν ὁτιοῦν ἄλλο κατηγορήσαντα τῶν Πρώτων (2), ἐργάζεσθαι τὸν Συλλογισμόν· οὕτω δὲ καὶ καθ' ἑτέρου τῶν ὅρων τὸ καλὸν ἄλλων ὅρων ὑπόθεσιν, οἷόν τ' ἐστι ποιήσασθαι Συλλογισμόν· οἷον αὐτὸς·

ἡ δικαιοσύνη καλόν ἐστι,
τὸ καλὸν αἱρετόν ἐστι (Κ)·

Τῷ μὲν οὖν προστιθέναι (3) τῇ Πρώτῃ Προτάσει τὸν δεύτερον, τὸν κοινὸν ὅρον ἐν ἀμφοτέραις· τῷ μὲν ὑποκείμενον ἐργάσῃ, θατέρου δὲ κατηγορούμενον.

Ἐγχωρεῖ δὲ καὶ οὕτω προσθεῖναι τὴν Πρότασιν, ὥστε τὸν κοινὸν ὅρον ἀμφοτέρων τὸ ὑπόλοιπον κατηγορῆσαι (4), καθάπερ ἐν τοῖς τοιούτοις ἔχει Συλλογισμοῖς·

Πᾶν καλὸν αἱρετόν ἐστι,

(1) Ἐγέγραπτο αὐτό.
(2) Ἦν ἐν τῷ ἀντιγράφῳ τῶν ἐρώτων.
(3) Ἀντὶ τοῦ Προσθεὶς ἐν τῷ ἀντιγράφῳ.
(4) Ἀντὶ τοῦ, κατηγόρησε.

Πᾶν καλὸν ἐπαινετόν ἐστι.

Καὶ τοίνυν ἐκάλεσαν οἱ παλαιοὶ φιλόσοφοι Πρῶτον μὲν σχῆμα τῶν κατηγορικῶν Συλλογισμῶν, ἐν ᾧ περ ἂν ὁ κοινὸς ὅρος ὑποκείμενος ᾖ θατέρῳ τῶν ἄκρων, κατηγορούμενος δὲ θατέρου. Δεύτερον δὲ, ἐν ᾧ κατηγορεῖται τῶν ἄκρων ἀμφοτέρων. Τρίτον δὲ ἐν ᾧ περ ἂν ὑποκέηται (1). Κατηγορεῖται μὲν οὖν τὸ αἱρετὸν τοῦ καλοῦ, κατὰ τὴν τοιαύτην Πρότασιν·

τὸ καλὸν αἱρετόν ἐστιν,

ὑπόκειται δὲ αὐτῷ τὸ καλὸν, ἐφ' οὗ κατηγορεῖσθαι πέφυκεν.

Οὐ ταὐτὸν δὲ σημαίνει παρ' αὐτοῖς τῷ κατηγορεῖσθαι τὸ καταφάσκεσθαι· καὶ γὰρ ὁ ἀποφασκόμενος, οὐ κατηγορεῖται· λεγόντων οὖν οὕτω,

τὸ καλὸν οὐκ ἔστι φευκτόν·

ὑποκεῖσθαι μὲν τὸ καλὸν, κατηγορεῖσθαι δὲ ἀποφατικῶς αὐτοῦ τὸ φευκτόν ἐστι (2), κατηγορεῖν δ' αὐτοῦ καταφατικῶς τὸ φευκτόν· καίτοι νενικηκότος καταφατικῶς μὲν ἀμφοτέρας ὀνομάζειν (3) τὰς εἰρημένας Προτάσεις, καὶ δι'

(1) Ἀντὶ τοῦ, ὑπόκειται.
(2) Γραπτέον, οὐκ ἔστι.
(3) Ἐγράφετο, ὀνομάζουσι.

αὐτὰς καὶ τοὺς Συλλογισμοὺς κατηγορικούς, οὐ μὴν καταφατικὰς ἀμφοτέρας, ἀλλ' ὡς ἀντιδιῄρηται.

Τριῶν οὖν ὄντων σχημάτων ἐν ταῖς κατηγορικαῖς Προτάσεσι, καθ' ἕκαστον αὐτῶν γίνονται Συλλογισμοὶ πλέονες, ὥσπερ κἀν ταῖς ὑποθετικαῖς, ἔνιοι μὲν ἀναπόδεικτοι καὶ πρῶτοι, τινὲς δ' ἀποδείξεως δεόμενοι. Κατὰ μέντοι τὰς ὑποθετικὰς Προτάσεις, οἱ μὲν ἄλλοι πάντες οἱ ῥηθέντες ἀρτίως, ἀναπόδεικτοί εἰσι καὶ πρῶτοι, πλὴν τοῦ προσλαμβάνοντος μὲν τὸ τοῦ λήγοντος ἀντικείμενον, ἐπιφέροντος δὲ τοῦ ἡγουμένου τὸ ἀντικείμενον· οὗτος γὰρ μόνος ἀποδείξεως δεῖται. Ἐπὶ δὲ τῶν κατηγορικῶν ἐν μὲν τῷ Πρώτῳ σχήματι τέσσαρές εἰσιν ἀποδεικτικοί· ὅ, τε ἐκ δυεῖν καθόλου Καταφατικῶν, καθολικὸν ἐπιφέρων συμπέρασμα (ΚΑ). Δῆλον δὲ ὅτι καὶ τὸ συμπέρασμα Πρότασίς τίς ἐστιν ἐκ τῆς πρὸς τὰ λήμματα σχέσεως, οὕτως ὠνομασμένη· καὶ Δεύτερος ὁ ἐκ καθόλου Στερητικῆς πρὸς τῷ μείζονι τῶν ὅρων, καὶ καθόλου Καταφατικῆς πρὸς τῷ ἐλάττονι, καὶ καθόλου Στερητικὸν ἐπιφέρων συμπέρασμα· καὶ Τρίτος, ὁ ἐκ καθόλου Καταφατικῆς πρὸς τῷ μείζονι, καὶ ἐπὶ μέρους Καταφατικῆς πρὸς τῷ ἐλάττονι, ἐπὶ μέρους καταφατικὸν ἔχων συμπέρασμα· Καὶ λοιπὸς ὁ ἐκ καθόλου Στερητικῆς, ἐν μέρει Στερητικὸν ἐπιφέρων συμπέρασμα· Τῶν δ' ἄλλων οὐκέτ' οὐδεὶς ἀναπόδεικτός ἐστιν, οὐδ' ἐξ ἑαυτοῦ πιστός· ὁ δὲ Πρῶτος ἐλάσσων, ἐκ τῶν εἰρημένων ἔχει τὴν ἀπόδειξιν· Ἐν μὲν τῷ Δευτέρῳ σχήματι, τέσσαρες ὑπάρχουσιν, ἐν τῷ Τρίτῳ δ' ἕξ.

Ἀλλ᾽ ὁ μὲν Πρῶτος ἐν τῷ Δευτέρῳ σχήματι, τὴν μὲν πρὸς τῷ μείζονι τῶν ὅρων καθόλου Στερητικὴν ἔχων Πρότασιν, τὴν δὲ ἑτέραν καθόλου Καταφατικὴν, δι᾽ ἀντιστροφῆς τῆς πρὸς τῷ μείζονι Προτάσεως, ἀναλύεται εἰς τὴν ἐν τῷ Πρώτῳ σχήματι, ἀλλ᾽ ἔχει καθόλου καταφατικὸν περαίνοντα. Τούτου δ᾽ ὁ ἐφεξῆς, ἰσοδύναμόν πως τὴν πρὸς τῷ μείζονι τῶν ὅρων καθόλου Καταφατικὴν ἔχων Πρότασιν, τὴν δὲ ἑτέραν καθόλου Στερητικὴν, ἐξ ἀντιστροφῆς δυοῖν, προτέρας μὲν τῆς καθόλου Στερητικῆς Προτάσεως, δευτέρου δὲ τοῦ συμπεράσματος, ὄντος καὶ αὐτοῦ καθόλου Στερητικοῦ, τὴν ἀνάλυσιν εἰς τὸν αὐτὸν ἔχει Συλλογισμὸν τὸν προειρημένον, τὸν ἐν τῷ Πρώτῳ σχήματι δεύτερον, ἔχοντα συμπέρασμα καθόλου Στερητικόν. Ὁ δὲ τρίτος ἐπ᾽ αὐτοῖς, ἐκ καθόλου Στερητικῆς, καὶ ἐπὶ μέρους Καταφατικῆς, καὶ ἀποφατικὸν ἐν μέρει ἐνδείκνυται, παρ᾽ ἐνίων δι᾽ ἀντιστροφῆς τῆς καθόλου Προτάσεως, ἀγόμενος εἰς τὸν ἐν τῷ Πρώτῳ σχήματι. Τέταρτος δ᾽ ὁ ὑπόλοιπος τῶν ἐν τῷ Δευτέρῳ σχήματι Συλλογισμῶν· ὁ τέταρτος ἐκ καθόλου Καταφατικῆς, καὶ ἐπὶ μέρους Ἀποφατικῆς, ἐπὶ μέρους ἀποφατικόν· συνάγει δὲ, ἀπὸ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς ἔχων τὴν ἀπόδειξιν, καὶ διὰ τῆς ὑπὸ Ἀριστοτέλους ὀνομαζομένης ἐκθέσεως.

Ἡ μὲν οὖν εἰς ἀδύνατον ἀπαγωγὴ, καλεῖται δὲ καὶ ἀδυνάτου δεῖξις, ὧδε ἔχει (ΚΒ)·

κατηγορείσθω τὸ Πρῶτον, τοῦ μὲν Δευ-

τέρου παντὸς, τοῦ δὲ Τρίτου τινὸς,
οὐ λέγω ὅτι περανθήσεται τὸ Δεύτερον κατά τινος τοῦ τρίτου·
μὴ γὰρ, ἀλλ' εἰ δυνατὸν τὸ ἀντικείμενον αὖ περαινέσθω·
τὸ κατὰ παντὸς ἐλέγετο τοῦ Δευτέρου·
τὸ ἄρα Πρῶτον (1) [κατὰ] παντὸς δειχθήσεται τοῦ Τρίτου,
ὅπερ ἐστὶν ἄτοπον· ὑπέκειτο γὰρ κατά τινος μὴ λέγεσθαι· οὐκ ἄρα κατὰ παντὸς Τοῦ τρίτου, τὸ Δεύτερον κατηγορεῖται, ἀλλὰ κατά τινος.

Ἡ δὲ δι' ἐκθέσεώς ἐστι τοιαύτη·

ἐπεὶ μὴ κατηγορεῖται, καὶ ἔστω τὸ Τέταρτον·
τὸ ἄρα Πρῶτον, οὐδὲν (2) κατηγορεῖται·
ἀλλὰ καὶ τὸ Δεύτερον παντὸς (3) κατηγορεῖται,
τὸ ἄρα Δεύτερον οὐ παντὸς (4) τοῦ Τετάρτου·
κατηγορεῖται δὲ τὸ Πρῶτον τοῦ Τρίτου·

(1) Ἐγέγραπτο τὸ, ἄρα Πρῶτον παντὸς.
(2) Ὅρα ἐν ταῖς Παρεκβολαῖς.
(3)–(4) Ἐγράφετο, πάντως.

τί ἐστιν ὡς τὸ Β τινὸς τοῦ Γ οὐ κατηγορηθήσεται; Α Β Γ Δ.

Τῶν ἐν τῷ Τρίτῳ σχήματι συλλογισμῶν· ὁ μὲν Πρῶτος ἐκ δυεῖν Προτάσεων καθόλου καταφατικῶν ἔχει συμπεράσματα δι' ἀντιστροφῆς τῆς πρὸς τῷ ἐλάττονι τῶν ὅρων Προτάσεως, ἀναγόμενος εἰς τὸν ἐν τῷ Πρώτῳ σχήματι τρίτον· ὁ δὲ Δεύτερος, ἐκ Στερητικῆς καθόλου πρὸς τῷ μείζονι τῶν ὅρων τῆς ὑπολοίπου καθόλου Καταφατικῆς, ἐπὶ μέρους δὲ Ἀποφατικῆς, ἀποφατικὸν ἴσχει συμπέρασμα δι' ἀντιστροφῆς τῆς πρὸς τῷ ἐλάττονι Προτάσεως (1), εἰς τὸ ἐν τῷ Πρώτῳ σχήματι τέταρτον ἔχον τὴν ἀνάλυσιν. Ὁ δὲ τρίτος ἐξ ἐπὶ μέρους καταφατικῆς [τῆς πρὸς τῷ ἐλάττονι], καὶ καθόλου καταφατικῆς [τῆς πρὸς τῷ μείζονι], ἐν μέρει καταφατικὸν ἴσχει συμπέρασμα, ἀπὸ τῆς ἐν μέρει Προτάσεως ἀντιστραφείσης, καὶ προσέτι τοῦ συμπεράσματος. Ὁ δὲ τέταρτος ἐκ καθόλου Καταφατικῆς, [καὶ ἐπὶ μέρους Καταφατικῆς (2),] ἐπὶ μέρους καταφατικὸν συμπεραίνει, τῆς ἐλάττονος Προτάσεως ἀντιστραφείσης. Ὁ δὲ πέμπτος, ἐκ Καθόλου Στερητικῆς, καὶ ἐπὶ μέρους Καταφατικῆς, ἀντιστραφείσης τῆς ἐν

(1) Ἐγέγραπτο· τῆς πρὸς τῷ ἐλάττονι προτάσεως· τὸ μὲν ἐν τῷ σχήματι τέταρτον, ἔχον τὴν ἀνάλυσιν.

(2) Ἐγέγραπτο· ἐκ καθόλου καταφατικῆς ἐπὶ μέρους καταφατικὸν σημαίνει, τῆς ἐλ..... Παρὰ μέντοι τοῖς νεωτέροις Περιπατητικοῖς πέμπτος οὗτος καταλέγεται.

μέρει, τὴν ἀναγωγὴν εἰς τὸν ἐν τῷ Πρώτῳ σχήματι τέταρτον ἴσχει, συμπέρασμα ποιούμενος ἀποφατικὸν ἐν μέρει. Λοιπὸς δὲ ὁ ἕκτος, ἐξ ἐπὶ μέρους Ἀποφατικῆς, καὶ καθόλου Καταφατικῆς, ἐπὶ μέρους ἀποφαντικὸν περανεῖ διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς, καὶ διὰ τῆς ἐκθέσεως ἀποδεικνύμενον, κἀπὶ τοῦ Α καὶ δευτέρου ἀναχθήσεται σχήματος.

Ἡ μέντοι εἰς ἀδύνατον ἀπαγωγὴ οὕτω·

Τὸ Πρῶτον τοῦ Τρίτου κατά τινος μὴ λεγέσθω·
τὸ Δεύτερον κατηγορείσθω κατὰ τοῦ Τρίτου·
λέγω, ὅτι τὸ Πρῶτον κατά τινος οὐ κατηγορηθήσεται τοῦ Δευτέρου·
μὴ γάρ, ἀλλ' εἰ δυνατόν ἐστιν, ἅπαντος κατηγορείσθω·
ἀλλὰ καὶ τὸ Δεύτερον κατηγορείσθω·
τοῦ Τρίτου παντὸς(1) κατηγορηθήσεται·
ἀλλ' ὑπέκειτο, τινὸς μὴ κατηγορεῖσθαι·
οὐκ ἄρα παντὸς τοῦ Δευτέρου κατηγορεῖται ἀποφάσκοντος·
ὁ Α ἄρα τινὸς Α Β Γ.

Διὰ δὲ τῆς Ἐκθέσεως οὕτω δειχθήσεται ταὐτόν·

(1) Ἐγράφετο, πάντως.

Ἐπεὶ μὴ κατηγορεῖταί τινος τοῦ Τρίτου
τὸ Α,
εἰλήφθω, οὗ μὴ κατηγορεῖται (1), καὶ ἔστω
τὸ Δ·
κατ' οὐδενὸς ἄρα τοῦ Δ τὸ Α λεχθήσεται·
ἀλλ' ἐπεὶ τὸ Δ τοῦ Γ τί ἐστι, κατὰ παντὸς
αὐτοῦ τὸ Γ κατηγορηθήσεται·
ἀλλὰ καὶ τὸ Β τοῦ Γ κατὰ παντὸς κατηγορεῖται·
ὥστε καὶ τοῦ Δ κατηγορηθήσεται παντός·
ἀλλὰ καὶ τὸ Πρῶτον Α κατ' οὐδενὸς τοῦ
Γ κατηγορεῖτο·
τὸ ἄρα Ἄλφα κατά τινος λεχθήσεται τοῦ Β·
Δ Β Γ Δ.

Αἱ δὲ ἄλλαι ἅπασαι συμπλοκαὶ τῶν Προτάσεων ἐν ἑκάστῳ τῶν σχημάτων εἰσὶν ἀδόκιμοι· Συλλογισμός τ' οὐδεὶς ἐξ αὐτῶν γίγνεται, διὰ τὸ μηδὲν ἐξ ἀνάγκης περαίνεσθαι, μηδὲ διαλεκτικῶς, μηδὲ δι' ἀποδείξεως. Ἔνδειξιν μὲν γὰρ καλοῦσι τὴν ἐκ τῆς τοῦ πράγματος φύσεως εὕρεσιν τοῦ ζητουμένου, κατ' ἀκολουθίαν ἐναργῶς τῶν φαινομένων. Ἀπόδειξιν δὲ, λόγον ἀληθῶν λημμάτων περαίνοντα.

Γίγνονται δὲ καθ' ἕκαστον σχῆμα συζυγίαι τῶν Προ-

(1) Ἐγράφετο, εἰληφὼς οὗ μὴ κατηγορεῖται.

τάσεων ΙϚ, διὰ τὸ Δ εἶναι καθ' ἕκαστον σχῆμα, δύο μὲν τὰς καθόλου, δύο δὲ τὰς ἐν μέρει, καὶ πλείους τῇ λέξει. Φαίνονται δὲ πρὸς ἐκείνας (1), γυμνάζεσθαι, καὶ αὐτὰς γνωρίζειν, ὡς ἐν τῷ περὶ Ἰσοδυναμούντων Προτάσεων εἴρηται γράμματι· νῦν γὰρ ὑπογραφή ἐστι τῆς λογικῆς θεωρίας, οὐ κατὰ διέξοδον διδασκαλία. Τοῖς δὲ διῃρημένοις ΙΔ Συλλογισμοῖς, ἴδιον ἑκάστου συμπέρασμα ἔχουσι, καὶ ἄλλαι τινὲς συναληθεύουσι Προτάσεις, αἱ μὲν περιεχόμεναι τοῖς συμπεράσμασιν αὐτῶν, αἱ δὲ ἐξ ἀνάγκης συναληθευόμεναι. Περιέχονται μὲν ἐν τοῖς καθόλου συμπεράσμασιν ἔλαττον πρὸς τῷ μείζονι κατὰ τὸν τέταρτον τῶν ἐν αὐτῷ Συλλογισμῶν, ὃς ἐκ καθόλου Στερητικῆς Προτάσεως, καὶ ἐπὶ μέρους Ἀποφατικῆς, ἐπὶ μέρους ἀποφατικὸν ἔχει συμπέρασμα· καθὰ (2) δὲ τὸ Β ἔχει καὶ Γ, οὐδὲν γίγνεται τοιοῦτον ἐξ ἀντιστροφῆς τῶν Προτάσεων· ἐκ μέντοι τῆς τοῦ συμπεράσματος ἀντιστροφῆς ἐν τῷ τρίτῳ σχήματι κατὰ τὸν τρίτον συλλογισμὸν γίγνεται μόνον· οἱ μὲν γὰρ ἐν τῷ Β σχήματι Πρῶτοι δύο, πρὸς ἀλλήλους ἀντιστρέφουσι τῷ συμπεράσματι· οἱ δ' ἐν τῷ τρίτῳ δύο, τρίτος τε καὶ τέταρτος, ἐμπεριέχονται γε μὴν ἐπὶ μέρους, ὡς ἐν τοῖς κατὰ τὸ Α καὶ τὸ Β σχῆμα Πρώτοις δύο Συλλογισμοῖς οὕτω τοῖς κατὰ παντός. Οὕτω μὲν

(1) Ἐγέγραπτο, ἐκείνους.

(2) Ἀντὶ, κατὰ ὅπερ ἦν, ἢ περιαιρετέον τὸ ἔχει, ὡς εἶναι κατὰ δὲ τὸ Β καὶ Γ.

οἱ Συλλογισμοὶ κατηγορικοὶ καλοῦνται καθάπερ ἔφην· οἱ δὲ κατὰ πλείω σχήματα δυνάμενοι συστῆναι τῶν εἰρημένων τριῶν, οὔτε κατ' ἄλλον ἀριθμὸν ἕκαστοι· δέδεικται γὰρ τοῦτο ἐν τοῖς περὶ Ἀποδείξεως ὑπομνήμασι· Χρώμεθα δ' αὐτοῖς ἐν ταῖς ἀποδείξεσιν, ἐν αἷς ὑπὲρ ἑνὸς τῶν ὄντων ἐστὶ ζήτησις· Πηλίκον ἐστὶν, ἢ Ὁποῖον, ἢ Ποῦ κείμενόν ἐστιν, ἢ περὶ Ποσοῦ τοῦ ἐκ τῶν κατὰ τὰς ἄλλας κατηγορίας, [ὡς Ἡ] Ἐρατοσθένους δεῖξις (ΚΓ).

Ἐν μὲν γὰρ τῷ ζητεῖν εἰ ὀρθῶς Ἐρατοσθένης ἔδειξε τὸν μέγιστον ἐν τῇ Γῇ κύκλον ἔχειν σταδίων μυριάδας ΚΕ· ἡ τοιαύτη ζήτησίς ἐστι τοῦ κύκλου, πηλίκον τε ἢ τῷ μεγέθει, ἢ τῇ Ποσότητι, ἢ ὅπως ἂν ἐθέλῃς ὀνομάζειν ταύτην γε· Κἀπειδὰν τῶν ἐν τῇ γῇ τροπικῶν ἑκάτερος, ὅσων ἐστὶ σταδίων ζητῇ καθ' ἑκάστην τε τῶν οἰκήσεων, καὶ πηλίκος ἐστὶν ὅ τ' Ἀρκτικὸς ὀνομαζόμενος κύκλος, καὶ ὁ Ἀνταρκτικὸς, τότε καὶ αἱ ἐπὶ μέρους Προτάσεις ἕπονται, κατὰ ἀντιστροφὴν συναληθευόμεναι· καὶ διὰ τοῦτο τοῖς ἐν τῷ Πρώτῳ σχήματι Συλλογισμοῖς, τῷ μὲν πρώτῳ καὶ δευτέρῳ καθόλου συμπέρασμα ἔχουσιν, αἱ ἐπὶ μέρους περιέχονται προτάσεις· Τῷ μὲν γὰρ πρώτῳ ἡ ἐπὶ μέρους Καταφατικὴ, τῷ δὲ δευτέρῳ τῇ καθόλου Στερητικῇ ἡ ἐπὶ μέρους Ἀποφατική. Καὶ μὴν καί τισι (1) τῶν ἀδοκίμων Συζυγιῶν, οὐκ ἐξ εὐθείας μὲν ἕπεται συμπέρασμά τι, καθάπερ ταῖς εἰρημέναις ΙϚ ταῖς τοὺς Συλλογισμοὺς ἐργα-

(1) Ἐγράφετο, καί τινες.

ζομέναις· ἀντιστραφεισῶν δὲ τῶν Προτάσεων ἕπονται.

Κατὰ γοῦν τὸ Α σχῆμα, τῆς μὲν πρὸς τῷ μείζονι τῶν ὅρων Προτάσεως Καταφατικῆς οὔσης, εἴτ' οὖν ἐπὶ μέρους, εἴτ' οὖν (1) καθόλου Στερητικῆς, ἐξ εὐθείας μὲν οὐ γίνεται Συλλογισμός. Τῆς δὲ πρὸς τῷ μείζονι τῶν ὅρων (2) πρὸς τὴν ἐλάττονα τῶν Προτάσεων ἀντιστραφείσης, συμπέρασμα γίγνεται, τὸ τὸν ὅρον δηλούμενον ἐξ ἄρκτου, τὸ ὑπόλοιπον, ὧν ἐστι μορίων ἑκάστη τῶν οἰκήσεων. Μέγεθος δὲ καὶ Ἡλίου καὶ Σελήνης, καὶ τῶν κατ' αὐτοὺς ἀποστημάτων ἐζήτηται, καὶ δέδεικται τοῖς ἀστρονόμοις· ὥσπερ γε καὶ τῶν Ἐκλείψεων, ὅταν μὴ δι' ὅλων γίγνωνται τῶν σωμάτων, ἀλλ' ἐξ ἡμίσεως ἢ ἀπὸ μέρους, ἢ τινὸς ἄλλου μορίου. Καὶ μὴν τῶν καθ' ἑκάστην οἴκησιν ἡμερῶν τὸ μέγεθος ἐζήτηταί τε (3) καὶ εὕρηται, καθάπερ καὶ τὰ προειρημένα· Ὁμολογεῖται μὲν γὰρ ὑπὸ τῶν Κλεψύδρων τε καὶ τῶν Ὑδροσκοπίων, ἔτι τε καὶ τῶν ἡλιακῶν Ὡρολογίων (4) εὑρῆσθαι τὸ μέγεθος ἑκάστης ἡμέρας τῶν καθ' ὅλον ἐνιαυτῶν· ὑπὸ δὲ τῶν κατὰ τὰς ἐκλείψεις προῤῥήσεων ἡλίου τε, καὶ ἄστρου, καὶ γῆς, καὶ μέγεθος πόσον ἀφεστήκασι τῶν καθ' ἡμᾶς τόπων τὰ τοιαῦτα· Καὶ μὲν οὖν καὶ τίνες εἰσὶν, αἱ τὴν ἑκάστου τῶν εἰρημένων πηλι-

(1) Ἐγράφετο, ἢ τοῦ καθόλου.

(2) Ἐγράφετο, συλλογισμὸς μείζονος τῶν ὅρων πρὸς ἐλάττονα.

(3) Ἐγράφετο, εἰ ζητεῖται τὲ καὶ εὕρηται.

(4) Ἐγράφετο, ὑδροσκοπίων.

κότητα ζητοῦσαί τε καὶ ἀποδεικνύουσαι μέθοδοι, πλείστοις (1) ἐγχρώμενοι τῶν κατὰ τὸ Α σχῆμα κατηγορικῶν συλλογισμῶν· καὶ γάρ τοι καὶ τὰς ἀποφάσεις ὑπὲρ ἑκάστου αὖ τῶν (2) ζητουμένων, ὧν ποιοῦνται, καθόλου πάσας εὑρεῖν ἐστιν ὑπ' αὐτῶν λεγομένας τε καὶ δεικνυμένας.

Ἐπεὶ δ' ἐν τῷ μᾶλλον τε καὶ ἧττον εἶναι καλῶς δύνανται, τὸ πρὸς τὰς γενικωτάτας αὐτῶν ἐπὶ μέρους δοκεῖ λέγεσθαι, διὰ τοῦτο κατὰ συμβεβηκὸς τότε φαίνονταί τινες ἀποφάνσεις τε καὶ δείξεις εἶναι κατὰ μέρος· Ὡς γὰρ τὴν περὶ παντὸς τριγώνου δεῖξίν τε καὶ ἀπόφασιν, ὅτι δυσὶν ὀρθαῖς ἴσας ἔχει τὰς τρεῖς γωνίας (3), ἐπὶ μέρους δόξειεν ἂν εἶναι Πρότασις, λέγουσα μὴ περὶ πασῶν ἐν τριγώνῳ, ἀλλ' ἐνίας τὰς πρὸς τῇ βάσει γωνίας ἴσας ἀλλήλαις ἔχειν· Οὕτω μὲν οὖν ῥηθὲν, καὶ οὕτω διωρισμένον, οὐδ' ἐπιστημονικὴν ἔχει τὴν ἀπόφανσίν τε καὶ γνῶσιν, ἐκείνως δὲ, ἐπιστημονικήν τε καὶ καθόλου. Πᾶν Ἰσοσκελὲς τρίγωνον τὰς πρὸς τῇ βάσει γωνίας ἴσας ἀλλήλαις ἔχει. Συνήθης δὲ τοῖς Ἕλλησι λέξις ἐστὶ καὶ ἡ τῆς τῶν ἀριθμῶν προτάσεως ἐνδεικνυμένη καθόλου τι ἀναγκαῖον, τὸ πάντα εἰπεῖν τὰς πρὸς τῇ βάσει γωνίας τρίγωνα ἴσας ἀλλήλαις ἔχειν, ὡς τὰ Ἰσοσκελῆ τρίγωνα· τὰς γὰρ πρὸς τῇ βάσει γωνίας ἴσας ἀλλήλαις ἔχειν. Καὶ μέντοι

(1) Ἐγράφετο, πλείστων.
(2) Ἐγράφετο, αὐτῶν.
(3) Ἐγέγραπτο, τὰς τριγώνους.

καὶ τὸν ἑνικὸν ἀριθμὸν ἔθος λέγειν αὐτοῖς κατὰ πολλῶν, καὶ μὴ ἀγνοεῖν οὕτω λεγόμενον· Καὶ διαφέρει γε οὐδὲν, εἰ τὰ Ἰσοσκελῆ τρίγωνα λέγει ἅπαντα τὰ πρὸς τῇ βάσει γωνίας ἴσας ἀλλήλαις ἔχειν, ἢ τὸ (1) Ἰσοσκελὲς τρίγωνον πρὸς εἶδος ἀποβλέποντας, πολλοῖς κατὰ μέρος ὑπάρχον, ὡς περὶ ἑνὸς εἰκότως ποιοῦνται τὴν ἀπόφασιν· Καὶ γάρ ἐστιν ὡς εἶδος ἕν· ἐπειδὴ κατὰ τὴν ὕπαρξίν ἐστι τοσαῦτα, κατὰ δὲ τὸν ἀριθμὸν ἑνός· οἷς ἂν ᾖ (2), τοῖς κατὰ μέρος σώμασιν ἄλλου γε τοιούτου εἴδους αὐτοῦ, μία φύσις ἐστὶ, πρὸς ἣν ἀποβλέποντες οἱ ἄνθρωποι, Πανοῦργον μὲν εἶναι ζῷον τὸν Κερδῶ φασι, Πτηνὸν δὲ τὸν ἀετὸν, Ἄγριον δὲ τὴν ἄρκτον.

Οἰκειοτάταις οὖν ἀποδείξεσιν ἐπιστημονικαῖς, ὁ τοῦ Πρώτου σχήματός ἐστι Πρῶτος συλλογισμὸς, ἐν διττῇ λέξει λεγόμενος ὑπὸ τῶν Ἑλλήνων· ἐνίοτε μὲν [ὡς] ἀρτίως εἴπομεν·

ὁ ἄνθρωπος ζῷόν ἐστι,
τὸ ζῷον οὐσία ἐστὶ (ΚΔ),
πᾶς ἄνθρωπος οὐσία ἐστί·

ἐφεξῆς δὲ δεύτερος μὲν ἐν τῷ Πρώτῳ σχήματι.

Κατὰ δὲ τὸ δεύτερον οἱ δύο Πρῶτοι χρήσιμοι πρὸς τὰς ἀποδείξεις γίγνονταί ποτε, μιγνυμένης ἐν αὐτοῖς τῆς

(1) Ἐγράφετο, ἤτοι ἰσοσκελές.
(2) Ἀντὶ τοῦ, ᾗ.

καθόλου Καταφατικῆς. Καὶ μὴν ὁ τρίτος ἐν τῷ Πρώτῳ σχήματι συλλογισμὸς, ὡς εἴρηται μικρὸν ἔμπροσθεν, εἰς ἀποφάνσεις ποτὲ γίγνεται χρήσιμος (ὡς) ὅταν, τρίγωνον Ἰσοσκελές ἐστι· δέδεικται γὰρ καὶ τὸ Ἰσοσκελὲς, τὰς πρὸς τῇ βάσει γωνίας ἴσας ἀλλήλαις ἔχον· ἐκ τούτων περανθήσεται· τρίγωνόν τι πρὸς τῇ βάσει τὰς γωνίας ἴσας ἔχειν.

Εἰσὶ δὲ καὶ κατὰ τὸ τρίτον σχῆμα Συλλογισμοί τινες, ὡς εἴρηται πρόσθεν, ἀποδεικνύντες τὸ ἐπὶ μέρους καταφατικόν· ἀποδείκνυται δέ ποτε καὶ τῶν ἐπὶ μέρους ἀποφατικῶν, τὸ κατὰ τὰ τρία σχήματα, καθάπερ ἐπὶ τοῦ,

πᾶν ἀγαθὸν αἱρετόν ἐστιν,
ἡ τῶν αἰσχουργῶν ἡδονὴ
[οὐχ αἱρετόν ἐστι·]

κατὰ ταύτην μὲν οὖν τὴν λέξιν εἰρημένη, κατὰ τὸ εἶδος, ἡ ἡδονὴ πρὸς τὴν ἀπόδειξιν εἴρηται· κατὰ δὲ τὰ τοιαῦτα ἀοριστοτέρα·

πᾶν ἀγαθὸν αἱρετόν ἐστι·
τὶς οὖν ἡδονὴ οὐκ ἔστιν αἱρετόν·
τὶς ἄρα ἡδονὴ οὐκ ἔστιν ἀγαθόν·

ἔτι κατὰ τήνδε τὴν λέξιν ἀοριστοτέρα ἀπόφασις (1) γίγνεται·

πᾶν ἀγαθὸν, αἱρετὸν,

(1) Ἐγράφετο, ἀπόφανσις.

πᾶσα ἡδονὴ αἱρετὸν,
οὐ πᾶσα ἄρα ἡδονὴ ἀγαθόν.

Εὔδηλον δὲ ὅτι κατὰ τὴν τοιαύτην ἀπόδειξιν οὐ τὸ μέγεθος, ὥσπερ ἐπὶ τῶν ἀρτίως εἰρημένων, ἀλλ' ἡ ποιότης ἀποδείκνυται τοῦ Πράγματος· ὁποῖον γάρ ἐστιν ἡ ἡδονὴ, πότερον, ἢ ἀγαθὸν, ἢ κακὸν, ἢ μέσον ἐν τῷ τῆς Ποιότητος γένει τὴν ζήτησιν ἴσχει, καθάπερ ἐν τῷ πρός τι, τὸ τῶν Ἰσοσκελῶν τριγώνων ἴσας εἶναι τὰς πρὸς τῇ βάσει γωνίας· Ὁ δὲ ἀποδεικνὺς ἐν τῷ μέσῳ τοῦ Κόσμου τετάχθαι τὴν γῆν (1), κατὰ τὸ Ποῦ, ὑπόκειται τὴν σκέψιν ποιεῖσθαι, καθάπερ γε καὶ ὁ μὴ κατὰ τὸν αὐτὸν χρόνον Ἱπποκράτην τε καὶ Δημόκριτον γεγονέναι, κατὰ τὸ Πότε γεγόνασι τὴν ἀπόδειξιν ποιήσεται· ὁ μέντοι ζητῶν εἰ σφαιροειδής ἐστιν ἡ γῆ, κατὰ τὴν τοῦ Ποιοῦ, κατηγορίαν ποιεῖται τὴν σκέψιν, καθάπερ γε καὶ ὁ ἀποφηνάμενος εἶναι σφαιροειδῆ, ποιότητά τινα τῆς γῆς ἀπέδειξε. Τὸ δὲ κατὰ τὸ Ποιεῖν καὶ Πάσχειν, αἱ τῶν αἰτίων γίγνονται ζητήσεις, ἐν Ἰατρικῇ μὲν οὖν, τίν' ἐστιν αἴτια τοῦ πάσχειν, νόσοι τε, καὶ φωνὴ, καὶ ἀναπνοὴ, καὶ θρέψις, περὶ ἃ ἡ σκέψις· ἐν φιλοσοφίᾳ δὲ, σεισμοὶ, κεραυνοὶ, ἀστραπαί τε καὶ βρονταί. Κατὰ δὲ τὸ Ἔχειν ζητεῖται, τίς ἐστιν ὁ Πλούσιος, ἢ τὶς ὁ Πένης, ἢ τὶς ὁ Εὔπορος, ἢ τὶς ὁ Πτωχός· Ὁ δέ τι ἐπαπορῶν, τίς ἱμάτιον ὑφήνατο, καὶ δίκτυον

(1) Ἐγράφετο, τὴν γῆν κάτω ὑπόκειται.

ἐπλέξατο, καὶ κιβώτιον, καὶ σκίμποδος σύνθεσιν, ζητείτω τὰ παραλελειμμένα ὑπὸ Ἀριστοτέλους ἐν τῇ τῶν δέκα κατηγοριῶν, ὡς ἐπιδέδεικται κατὰ τῶν εἰς ἐκεῖνο τὸ βιβλίον ὑπομνημάτων· Ἕτερον γὰρ γένος ἐστι κατηγορίας, ὃ καὶ αὐτὸ εἴωθε, Κεῖσθαι [λέγεσθαι], τὸ γοῦν κατακεῖσθαι καθῆσθαι· κατὰ γὰρ τὸ ἵστασθαι ταῦτα λέγεται, καὶ ἀφῆς μορίων τοῦ σώματος ἐνδείκνυται σχήματα, κατὰ τὴν πρὸς ἄλληλα σχέσιν γιγνόμενα· Καὶ ζητεῖται κατὰ τοῦτο τὸ γένος ὑφ' Ἱπποκράτους, ὁποῖον σχῆμα καταγέντι σκέλει καὶ χειρὶ, τὸ ἄριστον ὑφημμένον ἐκ τῶν ἄλλων μορίων· Ὁμοίως γε καὶ κατὰ τὰς πράξεις ἢ συμπτώματα χειρουργούντων, ἢ αἱμορραγίας ἱστώντων, ἢ τοιοῦτόν τι ἕτερον πραττόντων, ὁποῖον ἄριστόν ἐστι σχῆμα· Ὁ δ' ἐστὶν ἄριστόν τε καὶ πρῶτον ἐφ' (1) ἑκάστου τῶν μὴ φαινομένων αἰσθήσει, τὸ κατὰ τὴν ὕπαρξιν, ἤ τοι οὐσίαν, γίγνεται μὴ εἶναι, ζήτημά ἐστιν, ἐν ᾧ γε τὰ τοιαῦτα προβάλλεται·

Ἆρά γε εἱμαρμένη ἐστίν;
Ἆρά γε πρόνοια ἐστίν;
Ἆρά γε Θεοὶ εἰσίν;
Ἆρά γε κενὸν ἐστίν;

Ἐν οἷς προβλήμασι μάλιστα χρώμεθα ταῖς ὑποθετικαῖς προτάσεσιν, ἃς καὶ κατὰ συνέχειαν καὶ κατὰ διαίρεσιν ἔτεμον οἱ παλαιοί.

(1) Ἐγράφετο, ὑφ'.

Καλοῦσι δὲ τὰς μὲν κατὰ συνέχειαν οἱ Στωϊκοὶ, Συνημμένα ἀξιώματα, τὰς δὲ κατὰ διαίρεσιν, διεζευγμένα· καὶ συμφωνεῖταί γε αὐτοῖς, δύο μὲν γίγνεσθαι συλλογισμοὺς κατὰ τὸ συνημμένον ἀξίωμα, δύο δὲ κατὰ τὸ διεζευγμένον· Ὅτι (1) δὲ δι' ἀποφατικοῦ συμπεπλεγμένου συλλογισμοῦ εἰς ἀπόδειξιν χρήσιμος οὐδὲ εἷς ἐστι, καθάπερ γε καὶ τὸ,

Μὴ ὁ ἕκτος ἐστὶν ἢ Ζ, ἢ Η, ἢ Θ, (ΚΕ)

ἢ τὶς ἄλλος, ὡς ἐκεῖνοι λέγουσι συλλογισμὸν, ἀποδέδεικται δι' ἑτέρων· Ἀλλὰ νῦν πρόκειται τὰ χρήσιμα μόνον αὐτὰ διέρχεσθαι, παραλιπόντας τοὺς ἐλέγχους τῶν περιττῶς προστιθεμένων.

Τρίτον οὖν ἀναπόδεικτον τῶν περὶ τὸν Χρύσιππον ἡγουμένων, ἐξ ἀποφατικοῦ συμπεράσματος, καὶ καθ' ἑτέρου τῶν ἐν αὐτῷ τὸ ἀντικείμενον τοῦ λοιποῦ περαίνοντα, ὡς ἐπὶ τῶν τοιούτων ἔχει

καὶ Ἀθήνησί ἐστι καὶ ἴσθμοῖ Δίων·

καὶ

τόδε (2) τὸ παιδίον μὲν εἰς πολλὰς τῶν καθ' ὅλον τὸν βίον ἀποδείξειν εἶναι χρήσιμον ἄχρι καὶ τῶν δικαστηρίων.

(1) Ἐγράφετο, ὅτε δέ.
(2) Ἐγράφετο, τοῦδε.

Ἐπὶ δὲ τῶν μαχομένων ἀλλήλοις πραγμάτων τε, καὶ λόγων, ἔνια μὲν ὁλόκληρόν τε καὶ τελείαν ἔχει τὴν μάχην, ἅμα θ' ὑπάρχειν, ἅμα μή τ' οὐχ ὑπάρχειν δυνάμενα. Τινὰ δὲ ἐξ ἡμίσεος ὑπάρχειν μὲν ἅμα μὴ δυνάμενα, μὴ ὑπάρχειν δὲ ἅμα δυνάμενα· διὰ τοῦτο τὰ μὲν κατὰ τὴν τελείαν μάχην τὴν τοῦ διεζευγμένου προσηγορίαν καλεῖν ἠξίωκα· τὰ δὲ τὴν ἐλλιπῆ τὴν τῆς μάχης ἁπλῶς, ἢ καὶ μετὰ προσθήκης ἐλλιποῦς μάχης.

Ἐν τούτοις οὖν τοῖς πράγμασιν ὁ εἰρημένος Συλλογισμὸς, χρήσιμός ἐστιν· τῇ μὲν αὐτῇ λέξει χρώμενος ἦν Χρύσιππος, οὐ μὴν ἐπὶ συμπεράσματι συνιστάμενος, ἀλλ' ἐπὶ τοῖς μαχομένοις, ᾧ καὶ αἱ διαφοραὶ πάμπολλοι κατὰ τὸ Συμπεπλεγμένον ἀξίωμα συνίστανται· Τριῶν γὰρ οὐσῶν διαφορῶν ἐν τοῖς πράγμασι, μιᾶς μὲν τῆς κατὰ τὴν μάχην ἐπὶ τῶν μηδέποτε συνυπαρχόντων· ἑτέρας δὲ τῆς κατὰ τὴν ἀκολουθίαν ἐπὶ τῶν ἀεὶ μὴ συνυπαρχόντων, ὅσα μήτε τὴν ἀκολουθίαν ἅμα ἔχει, μήτε τὴν μάχην, τὸ Συμπεπλεγμένον ἀξίωμα συνίστησιν, ὁποῖα τὰ τοιαῦτά ἐστι,

Δίων περιπατεῖ, καὶ Θέων διαλέγεται·

Δῆλον δὲ καὶ τὸ ἀποφατικὸν αὐτοῦ τοιοῦτον ἐσόμενον,

οὐχὶ καὶ Δίων περιπατεῖ·

ἔτι δὲ,

ἀλλὰ μὴν καὶ Θέων διαλέγεται·

Συμπέρασμα δὲ κατὰ μὲν τὴν ἑτέραν πρόσληψιν,

οὐκ ἄρα Θέων διαλέγεται·

κατὰ δὲ τὴν ἑτέραν,

οὐκ ἄρα Δίων περιπατεῖ·

πρὸς ἀπόδειξιν δὲ ἡ τοιαύτη τῶν ὑλῶν δέδεικται καὶ παντάπασιν ἄχρηστος οὖσα.

Πάντα μὲν οὖν, ἴσως καὶ πλείω τοῦ δέοντος, ὡς προκειμένης μὲν βραχυλογίας εἴρηται σαφηνείας ἕνεκεν· Ἔλθωμεν δὲ αὖθις ἐπὶ τὸ Προκείμενον, ὡς εἰ καὶ μηδὲν εἴρηται τῶν παραδειγμάτων.

Οἱ γὰρ ἐξ Ὑποθετικῶν Προτάσεων γιγνόμενοι Συλλογισμοὶ, κατὰ μετάβασιν ἀφ' ἑτέρου πράγματος, ἐφ' ἕτερον ἐπιτελοῦν[ται], δι' ἀκολουθίας ἢ μάχης, ἤτοι γ' ἐλλιποῦς ἑκατέρας, ἢ τελείας· καὶ τρίτον παρὰ ταύτας γένος οὐδέν ἐστι τῆς ἀφ' ἑτέρου μεταβάσεως ἐφ' ἕτερον εἰς ἀπόδειξιν χρήσιμον· Ἔσονται δὴ, δύο μὲν ἐκ τῆς τελείας ἀκολουθίας Συλλογισμοὶ, καθάπερ γε καὶ ἐκ τῆς τελείας μάχης δύο· καλείσθωσαν δ' οἱ μὲν ἐκ τῆς ἀκολουθίας, πρῶτός τε καὶ δεύτερος· οἱ δὲ ἐκ τῆς μάχης, τέταρτος καὶ πέμπτος, ἐπειδὴ Χρύσιππος οὕτως ἔθετο· τρίτος δὲ κατὰ τὴν λέξιν ὁ αὐτὸς τῷ Χρυσίππῳ· κατὰ δὲ τὴν τῶν αἰτητῶν φύσιν, οὐχ' ὁ αὐτός· Οὐκ ᾤετο γὰρ ἐξ απο-

φατικῆς μάχης ἐλλιποῦς (1) τὴν γένεσιν αὐτῶν καταφατικὴν ἔχειν μίαν Πρόσληψιν, οὐχ ὥσπερ οἱ ἐξ ἀκολουθίας τελείας ἑκατέρας δύο· Οὔσης δὲ καὶ ἀκολουθίας, ὡς ἐδείξαμεν ἐλλιποῦς ἐν τοῖς καλουμένοις παραδιεζευγμένοις, ἔσονται καὶ κατὰ τούτους Συλλογισμοὶ δύο. Πρῶτος μὲν ὁ τοιοῦτος εἰς ἀνάδοσιν τῆς τροφῆς ἐκ κοιλίας εἰς ὅλον τὸ σῶμα·

Ἔτι τε τῶν σιτίων ἔσται αὐτῶν φερομένων,
ἢ ὑπὸ τῆς γαστρὸς πεμπομένων,
ἢ ὑπὸ τῶν μορίων φερομένων,
ἢ ὑπὸ τῶν φλεβῶν παρεισαγομένων γίγνεται·

Συγχωρείσθω δὲ καὶ πάνθ' ὑπάρχειν ἅμα δύνασθαι· καὶ γὰρ δύναται· Καὶ κατ' αὐτό γε τοῦτο [τὸ] παραδιεζευγμένον τοῦ διεζευγμένου διήνεγκεν ἐπ' ἐκείνου· Ἓν μὲν γὰρ πάντως ἐστὶ, τῶν ἄλλων δ' οὐδέν· ἐπὶ τούτου δὲ πάντως ἕν τι· Δύναται δὲ καὶ τῶν ἄλλων, καὶ πάντα τὰ κατειλημμένα τὴν ὕπαρξιν ἔχειν ἅμα. Προσλήψεις [δ'] ἔσονται τούτοις τοῦ ἀξιώματος ἀποφατικαὶ μὲν πάντως κατὰ μίαν τοῖς καθ' ἓν τῶν γιγνομένων, ἢ κατὰ δύο μόνον· καὶ καθ' ἓν μὲν ὅλον

(1) Ἐγράφετο· ἡ γένεσις ... καταφατικὴ ἔχοντι.

Ἡ ἀνάδοσις τῆς τροφῆς ἐκ κοιλίας εἰς
ὅλον τὸ σῶμα,
ἤτοι τῆς κοιλίας ἐκθλιβούσης,
ἢ τῶν φλεβῶν παραγουσῶν,
ἢ τῶν μορίων ἑλκόντων,
ἢ αὐτῆς τῆς τροφῆς ἐξ αὑτῆς φερομένης
γίγνεται·
Ἀλλὰ μὴν ἡ Γαστὴρ οὐκ ἐκθλίβει·
ἤτοι ἄρα τῶν φλεβῶν παραγουσῶν,
ἢ τῶν μορίων ἑλκόντων,
ἢ ἐξ ἑαυτῆς ἡ τροφὴ φέρεται·

Ἔσται δὲ δηλονότι καὶ τούτου συμπέρασμα παραδιεζευγμένον (1) ἐκ τριῶν· ὥσπερ γὰρ κἂν ἓν ὁτιοῦν ἄλλο (2) καθάπερ νῦν ἡ γαστὴρ, οὕτως αὐτὸ ῥηθῇ μὴ εἶναι. Τὰ γὰρ ὑπόλοιπα τρία, κατὰ παραδιεζευγμένον ἀξίωμα, σύνθετον καὶ τὸ συμπέρασμα ἐργάζεται.

Ἑτέρα δὲ Πρόσληψις ἔσται καθ' ἣν,

οὔτε τὴν κοιλίαν πέμπειν,
οὔτε τὰς φλέβας παράγειν, ἐροῦμεν,
οὔτε τὴν τροφὴν ἐξ ἑαυτῆς φέρεσθαι,

ἢ ὅπως ἂν ἄλλως ἀξιωμάτων ἀπόφανσιν προσληψοίμεθα·

(1) Ἐγράφετο· παρεζευγμένον.
(2) Ἐγράφετο· ὁτιοῦν ἀλλὰ καθάπερ.

Δύναται γὰρ πολλάκις καὶ τριῶν μὲν μᾶλλον ἄμεινον τὸ τέταρτον περαίνεσθαι, καταφατικῶς δὲ καὶ διωρισμένως· Ἄχρι γὰρ ἤτοι ἅπαξ τῶν τεττάρων, ἢ δὶς λαμβάνεται, τὸ συμπέρασμα παραδιεζευγμένον ἐστίν.

Ὁ δὲ τοιοῦτος Συλλογισμὸς αὐτὸ ὑπομένειν δόξει τῷ τοι[όνδε]·

> Ἀναδίδοται ἡ τροφὴ ἐκ τῆς κοιλίας εἰς ὅλον τὸ σῶμα,
> ἤτοι ἐξ αὐτῆς φερομένη τοῦτο πάσχουσα,
> ἢ ὑπὸ τῆς γαστρὸς πεμπομένη,
> ἢ ὑπὸ τῶν μορίων ἑλκομένη,
> ἢ ὑπὸ τῶν φλεβῶν παραγομένη.

Οὐκ ἔστι δὲ ὁ αὐτός· ἀλλ' οὗτος μὲν τὴν αὐτὴν ἔχει δύναμιν (1) τῷ πρώτῳ τῶν ὑποθετικῶν ἀναποδείκτῳ, ἡγουμένου (2) μὲν ἐξ ὑποθέσεως τοῦ ἀναδίδοσθαι τὴν τροφὴν, ἑπομένων δὲ τῶν ἐφεξῆς εἰρημένων. Καὶ οὐδὲν διαφέρει ποτέρων διεζευγμένων πραγμάτων ὕλη τὸ ἐπιφερόμενόν ἐστιν, ἢ ἐμπαραδιεζευγμένη· καθ' ἕτερον γὰρ τὸν τρόπον, ἡ τοῦ (3) πρώτου τῶν ὑποθετικῶν Συλλογισμῶν δύναμίς ἐστιν οὖσα τοιαύτη·

(1) Ἐγράφετο· τῷ πρὸ τῶν ὑποθετικῶν.
(2) Ἐγράφετο· ἡγουμένῳ μὲν.
(3) Ἐγράφετο, ἢ τοῦ.

ἤτοι τὸ Πρῶτον,
ἢ τὸ δεύτερον,
ἢ τὸ τρίτον,
ἢ τὸ τέταρτον,
ἢ τὸ πέμπτον·

Εἶτα Πρόσληψις

Ἀλλὰ μὴν τὸ Πρῶτον,

Εἶτα συμπέρασμα

ἤτοι ἄρα τὸ δεύτερον,
ἢ τὸ τρίτον,
ἢ τὸ τέταρτον,
ἢ τὸ πέμπτον

Ἑτέρα δὲ Πρόσληψις κατὰ τὸν τοῦ δευτέρου τῶν ὑποθετικῶν ἀναποδείκτων τρόπον τὰ τοιάδε·

Ἀλλὰ μὴν οὐδὲ τὸ δεύτερον ἢ τὸ τρίτον,
οὐδὲ τὸ τέταρτον ἢ τὸ πέμπτον·
οὐκ ἄρα τὸ πρῶτον·

Ὃν δ' ὀλίγον ἔμπροσθεν εἰπόντες Συλλογισμὸν γίγνεσθαι κατὰ τὸ παραδιεζευγμένον, ὡς ὁμολογουμένῳ τῷ παραδιεζευγμένῳ, τήν τε πρόσληψιν λαβεῖν, καθάπερ εἰ καὶ διεζευγμένον, εἴη τοιοῦτον (1)·

(1) Ἐγράφετο· ἢ τοιοῦτον.

ἤτοι ἐξ αὐτῶν ἀναδίδοται τὰ σιτία,
ἢ ὑπὸ τῆς γαστρὸς ἐπιπέμπεται (1),
ἢ ὑπὸ τῶν φλεβῶν παράγεται,
ἢ ὑπὸ τῶν τοῦ σώματος μορίων ἕλκεται·

ἀλλ' οἱ μὲν (2) ἐπὶ τῷ διεζευγμένῳ συλλογισμοὶ (3) προσλήψεις ἔχουσι δύο, ἤτοι γέτοι τῶν κατὰ τὸ διεζευγμένον, ἢ καὶ τὰ ἄλλα πάντα πλὴν ἑνὸς οὐχ ὑπάρχοντος.

Ὅτι δὲ πρὸς ἀπόδειξιν [χρήσιμοι] οἱ τοιοῦτοι συλλογισμοὶ, δηλοῖ καὶ Πλάτων ἐν Ἀλκιβιάδει, κεχρημένος τῷ κατὰ (4) Δίλημμα τοῦ δευτέρου τῶν ὑποθετικῶν, ἔνθα φησίν·

Ἀλκιβιάδης οἶδε τὰ δίκαια,
ἤτοι παρ' ἑτέρου μαθὼν,
ἢ αὐτὸς εὑρὼν, οἶδεν·

Εἶτα δείξας, ὅτι

μήτε παρ' ἑτέρου μαθὼν,
μήτε αὐτὸς εὑρὼν,

ἐπιφέρει συμπέρασμα, τὸ

μὴ γινώσκειν Ἀλκιβιάδην τὰ δίκαια.

(1) Ἐγράφετο. ἐπέμπετο.
(2) Ἐγράφετο· εἰ μὲν.
(3) Ἐγράφετο· συλλογισμῷ.
[4) Ἐγράφετο· κατὰ δύναμιν.

Κατὰ δὲ τὸν παραδιεζευγμένον ψιλὸν, ὁ λόγος ἂν οὕτως ἠρωτᾶτο·

Ἀλκιβιάδης οἶδε τὰ δίκαια, ἤτοι μαθὼν,
ἢ αὐτὸς εὑρών·
Ἀλλὰ μὴν οὐκ οἶδε μαθὼν,
Αὐτὸς ἄρα εὑρὼν οἶδε.

Ἔστι δὲ καὶ ἄλλο τρίτον εἶδος συλλογισμῶν· οὓς ἐγὼ μὲν ὀνομάζω κατὰ τὸ πρός τι γενέσθαι, βιάζονται δ' αὐτοὺς οἱ περὶ Ἀριστοτέλην τοῖς κατηγορικοῖς συναριθμεῖν. Ἔστι δ' οὐκ ὀλίγη χρῆσις αὐτῶν παρά τε τοῖς Σκεπτικοῖς, καὶ Ἀριθμητικοῖς, καὶ Λογιστικοῖς ἐπὶ τοιούτων καί τινων λόγων·

Δίων καὶ Θέων διπλάσια κέκτηται·
Δίωνος ἄρα Φίλων διπλάσια κέκτηται (1)·

καὶ κατ' ἀντιστροφὴν δὲ τῆς λέξεως αὐτὸ· ὅτι δύναται ὁ λόγος [καὶ] οὕτως ἐρωτηθήσεσθαι (2)

Δίων Θέωνος ἡμίση κέκτηται,

(1) Ἡμάρτηται ἀβλεψίᾳ τοῦ ἀντιγράψαντος, δέον προενεχθῆναι οὕτω·

Δίωνος Θέων διπλᾶ κέκτηται,
Ἀλλὰ καὶ Φίλων Θέωνος διπλ. κέκτ.
Δίωνος ἄρα Φίλων διπλάσια κέκτηται (Κς′).

(2) Ἀντὶ τοῦ δύναται λόγος οὗτος ἐρωτηθήσεται.

Ἀλλὰ καὶ Θέων Φίλωνος ἡμίση κέκτηται·
Δίων ἄρα φίλωνος τέταρτον μέρος ἔχει
τῆς κτήσεως.

Οὕτως οὖν καὶ κατ' ἄλλον ὁντιναοῦν λόγον [ἀριθμὸς] πολλαπλασίων ἀποδεικτικῷ ἐρωτηθήσεται Συλλογισμῷ· εἰ γὰρ ὅ δέ τις ἀριθμὸς τοῦ δέ τινος εἴη (1) τριπλάσιος, πάλιν ἕτερος εἴη τριπλάσιος, ἐννεαπλάσιος εἴη ὁ μείζων ἀριθμὸς τοῦ ἐλάττονος· Καὶ ἀναστρέψαντι δὲ πάλιν ὁ ἐλάττων τοῦ μείζονος, ἔλαττον ἔσται μέρος· Οὕτω δὲ καὶ τὰς προσθέσεις τε καὶ ἀφαιρέσεις· ἐὰν γὰρ ὁ Πρῶτος ἀριθμὸς τῷ δευτέρῳ ἴσος ὑπάρχῃ, προστεθήσεται δ' ἑκατέροις ἶσος ἕτερος, ἔσται καὶ ὅλος τῷ ὅλῳ, καὶ ἥμισύ γε [ἡμίσει]. Δυοῖν δ' ὄντων ἶσοι δυοῖν ἀφαιρείσθωσαν ἐφ' ἑκάτερα, καὶ ὁ λοιπὸς τῷ λοιπῷ ἶσος ἔσται.

Πολὺ δὲ πλῆθός ἐστιν, ὡς ἔφην, ἐν ἀριθμητικῇ τε καὶ λογιστικῇ τοιούτων Συλλογισμῶν, ὧν ἁπάντων ἐστὶ κοινὸν, ἔκ τινων ἀξιωμάτων τὴν αὐτὴν ἴσχειν σύστασιν (2), ἧς ἐν τοῖς εἰρημένοις μνημονεύοντες, εἰς τοὺς κατηγορικοὺς ἀνάγειν λόγους δυνησόμεθα τοὺς τοιούτους συλλογισμοὺς, σαφέστερον ἡμῖν ἀρξομένοις (3).

Ὄντος γὰρ ἀξιώματος τοῦ τε καθόλου τὴν πίστιν ἔχοντος ἐξ ἑαυτοῦ,

(1) Ἀντὶ τοῦ, ἢ.
(2) Ἐγράφετο, τὴν αὐτὴν ἴσχειν· συστάσεως ἐν τοῖς.
(3) Γραπτέον σαφέστερον δ' ἡμῖν ἔσται ἀρξομένοις ὧδε. Ὄντος....

τὰ τῷ αὐτῷ ἶσα [καὶ ἀλλήλοις ἶσα ἐστὶ],

καὶ συλλογίζεσθαί τε καὶ ἀποδεικνύναι ἐστὶν, ὥσπερ Εὐκλείδης ἐν τῷ πρώτῳ Θεωρήματι τὴν ἀπόδειξιν ἐποιήσατο, τὰς τοῦ τριγώνου Γωνίας ἴσας δεικνύων· ἐπεὶ γὰρ

τὰ τῷ αὐτῷ ἶσα, καὶ ἀλλήλοις ἶσα ἐστὶ,

δέδεικται δὲ τὸ πρῶτον τε καὶ τὸ δεύτερον, ἑκάτερον αὐτῶν ἶσον ἂν εἴη [τῷ τρίτῳ]· οὕτω τὸ Πρῶτον·

Ὄντος (1) δὲ πάλιν ἀξιώματος ἐξ ἑαυτοῦ
Πιστοῦ τοῦδε,
ἐὰν ἴσοις ἶσα προστεθῇ, καὶ τὰ ὅλα ἶσα
ἔσται.

Ἐὰν ὁμολογουμένων ἴσων ἀλλήλων εἶναι τοῦ Πρώτου καὶ δευτέρου, προστεθῇ τι καθ' ἑκάτερον ἶσον ἴσῳ (2), ἔσται καὶ τὸ ὅλον τῷ ὅλῳ ἶσον· ὃ δ' ἁπλῶς (3)· ἐπεὶ (4) τὸ πρῶτον ἶσον· ἔσται τῷ δευτέρῳ, πρόσκειται δὲ τὸ μὲν πρῶτον τῷ τρίτῳ, τὸ δὲ δεύτερον τῷ τετάρτῳ (5), ἶσα ὄντα καὶ αὐτὰ, γεννηθήσεται [καὶ] τὸ ὅλον τῷ ὅλῳ ἶσον.

(1) Ἀντὶ τοῦ, ἐντός.
(2) Ἦν ἐν τῷ Ἀντιγράφῳ, ἶσον ἶσον.
(3) Ἀντὶ τοῦ, ὃ διπλῶς.
(4) Ἀντὶ τοῦ, ἐπί.
(5) Ἐγράφετο, τῷ δὲ δευτέρῳ τὸ τέταρτον, ἀπεναντίως τῷ ἀξιώματι.

Ὡσαύτως δὲ κἀπειδὰν ἀπό τινων ἴσων ἴσα ἀφαιρεθῇ (1), δυνησόμεθα λέγειν, ἐπεὶ τὸ ὅλον τῷ ὅλῳ ἴσον, ἀφαιρεῖται δὲ ἀφ' ἑκατέρου αὐτῶν ἴσα τάδε, καὶ τὸ λοιπὸν τῷδε λοιπῷ ἴσον ἔσται· οὕτω δὲ καὶ τὸ τοῦ διπλασίου διπλάσιον, τετραπλάσιον ἔσται. Ἐὰν γάρ (2) τινος [Διπλασίου] ἕτερον διπλάσιον ληφθῇ, κἀκείνου δὲ πάλιν διπλάσιον ληφθῇ, ἔσται τοῦτο τὸ τρίτον τοῦ πρώτου τετραπλάσιον· ὁμοίως δὲ κἀπὶ τῶν ἄλλων ἁπάντων ἡ σύστασις τῶν ἀποδεικτικῶν Συλλογισμῶν κατὰ δύναμιν ἀξιώματος ἔσται συνημμένου ἐπὶ ἀριθμῷ.

Ἐπὶ δὲ τῶν ἄλλων πραγμάτων ἐν τῷ Πρός τι γένει καὶ αὐτῶν ὑπαρχόντων, ὁ Συλλογισμὸς ἔσται κατά τι τῶν ἀξιωμάτων· οἷον οὑτωσί (3)·

Σωφρονίσκος πατήρ ἐστι Σωκράτους,
Σωκράτης υἱός ἐστι Σωφρονίσκου·

καὶ ἀνάπαλιν·

Εἰ Σωκράτης υἱός ἐστι Σωφρονίσκου,
πατήρ ἐστι Σωφρονίσκος Σωκράτους.

Εὔδηλον δὲ τῶν εἰρημένων Προτάσεων αἱ Προσλήψεις ὑπο-

(1) Ὅρα τὸ ἀξίωμα καὶ τοῦτο, καὶ τὰ προηγούμενα ἐν ἀρχῇ τῶν τοῦ Εὐκλείδου, ἅπερ ἐκεῖ καλεῖται κοιναὶ ἔννοιαι.

(2) Ἀντὶ τοῦ, δέ.

(3) Τοῦ Δ' καὶ Γαληνείου σχήματος οἱ Συλλογισμοὶ οἵδε.

θετικαὶ μὲν, οὕτως (1) ὁ Συλλογισμὸς ἐρωτηθήσεται·

Εἰ Σωκράτης υἱός ἐστι Σωφρονίσκου,
Σωφρονίσκος πατήρ ἐστι Σωκράτους·

Ἀλλὰ μὴν

ὁ Σωκράτης υἱός ἐστι Σωφρονίσκου,
Σωφρονίσκος ἄρα πατήρ ἐστι Σωκράτους.

Κατηγορικαῖς δὲ Προτάσεσι βιαιοτέρα ἔσται ἡ σύστασις τοῦ [Συλ]λογισμοῦ. Προτείνειν (2) οὖν δηλονότι καθόλου κἀνταῦθά τινος ἀξιώματος τοιούτου·

Λαμπροκλῆς [ὁ] Σωκράτους·
υἱὸς ἄρα ἐστὶ Λαμπροκλῆς Σωκράτους.

Ὡσαύτως δὲ καὶ οἱ καθ' ἡντινοῦν σχέσιν ἐρωτώμενοι Συλλογισμοὶ, γένει τε καὶ ἀξιώματι πιστὴν τὴν σύστασιν ἕξουσι καὶ τὴν τῆς ἀποδείξεως δύναμιν. Οἷον καὶ οἱ κατὰ τὸ μᾶλλον εὖ δηλούμενοι, ὅτι καὶ οὗτοι τῶν ἀλλογενῶν εἰσι, τοῖς κατὰ τὴν τοῦ Πρός τι κατηγορίαν συνισταμένοις· ὧν εἴρηται μὲν κατ' αὐτὴν τοῦ μᾶλλον φωνήν· ἐν τοῖς [τοῦ] μᾶλλον τούτων Ὑπομνήμασι καὶ τὰ παραδείγματα ὑπάρχουσιν· Οἱ δὲ τοῦ μᾶλλον φωνῆς οἱ τοιοῦτοι

(1) Ἀντὶ τοῦ, οὗτος.

(2) Ἀντὶ τοῦ εἰπεῖν, Προτείνωμεν Συλλογισμόν.

Συλλογισμοὶ λέγονται κατὰ δύναμιν αὐτῆς· ὁποῖός ἐστι καὶ ὁδί·

Ἡ κρείττονος ἀρετὴ αἱρετωτέρα·
κρείττων δὲ ψυχὴ σώματος·
αἱρετωτέρα ἄρα ἡ τῆς ψυχῆς ἀρετὴ τῆς
 τοῦ σώματος·

Ὅμοιος (1) δὲ τούτῳ καὶ ὁ τοιοῦτος Συλλογισμός·

τὸ τοῦ κρείττονος ἀγαθὸν αἱρετώτερον·
κρείττων ἦν δὲ ψυχὴ σώματος·
ἄρα τὸ τῆς ψυχῆς ἀγαθόν (2).

Καὶ σχεδὸν ἅπαντες οἱ Συλλογισμοὶ, διὰ τὴν τῶν ἐπιτεταγμένων αὐτοῖς καθολικῶν ἀξιωμάτων πιστούμενοι τὴν σύστασιν, ὕστερον μοι νοηθέντες· οὔτε δ' ἐν τοῖς περὶ Ἀποδείξεως ὑπομνήμασιν, οὔτ' ἐν τῷ περὶ τοῦ τῶν Συλλογισμῶν ἀριθμοῦ γέγραπται· καίτοι τοὺς εἰς τὸ Πρός τι Συλλογισμοὺς, ἤδη μὲν οὖν καὶ κατ' ἐκείνας τὰς πραγματείας εὑρηκότες τὸν τῆς συστάσεως τρόπον αὐτῶν, καὶ τῆς πίστεως· Ὅσοι δὲ πάλιν, οἱ ἀναπόδεικτοι Συλλογισμοὶ, διὰ τὴν τῶν καθόλου πίστιν ἀξιωμάτων εἰσὶ τοιοῦτοι, μαθεῖν ἔνεστιν ἐναργέστερον ἅπαντας τοῖς ὁπωσοῦν, ἠρτη-

(1) Ἀντι τοῦ, ὁμοίως.
(2) Κατὰ τὸ Γ σχῆμα οὗτος.

μένοις λόγοις τοιούτοις ἐπιβλέψαντας· καθάπερ ἔχει καὶ ὁ τοιόςδε·

λέγεις ἡμέραν εἶναι;
ἀλλὰ καὶ ἀληθεύεις·
ἡμέρα γάρ ἐστι.

Ἀποδεικτικός ἐστι καὶ ὁ τοιοῦτος Συλλογισμὸς, διότι καὶ τὸ καθόλου ἀξίωμα ὑποπέπτωκεν·

ἀληθές ἐστι τοιοῦτον ὑπάρχον, ἀληθεύοντα λέγειν·

Ὁ δέ τις,

οἷον, Θέων εἰ τύχοι, λέγει ἡμέρα ἐστὶν,
οἷον ἄρα ἐστὶν ἡμέρα·

Τοῦτο δὲ διὰ σαφεστέρας λέξεως καὶ οὕτω λέγεται·

ἡμέρα ἄρα ἐστίν· ὁ γὰρ λέγων τόδέ τι εἶναι, ταὐτὸν λέγει τῷ φάσκοντι τῶν ὄντων τινῶν καὶ τοῦτο (1) εἶναι, καθάπερ καὶ ὁ λέγων ὑπάρχειν τόδε τι, ταὐτὸν λέγει τῷ εἶναι τόδε φάσκοντι· καὶ αὐτὸς, καὶ ὁ λόγος ἀληθές ἐστι, τὸ ἡμέρα ἐστί·

(1) Ἐγράφετο, τούτων.

καὶ γεγυμνᾶσθαί σε χρὴ διὰ τοῦτο κατὰ τὴν τῶν ἰσοδυναμούντων Προτάσεων γυμνασίαν.

Ἔσθ' ὅτε οὖν ἰδεῖν ἐστιν διαφερομένους τινὰς ἀλλήλοις, καὶ τὸ δυνάμει λέγοντας ταὐτὸν, ἐνίοτε δὲ οὐ δυνάμει ταὐτὸν, ἀλλ' ἄντικρυς ἀποφαινόμενον σαφῶς, ὥσπερ ἐκεῖνον

ὁ μέν τις καρπὸν ἔχει,
ὁ δὲ μακρὰ ἔχων,
λείπει δὲ ὅδε (ΚΖ).

Παρεμπίπτει δὲ πολλάκις τοῖς τοιούτοις λόγοις ἡ περὶ τῶν σημαινομένων ζήτησις, ἐνίων μὲν εἰς πλείω σημαινόμενα τὴν τῶν ἰδίων δεομένην αὐτὴν σημαίνειν φασκόντων, οὐκ ὀλίγων τε καὶ τελείως (1) ἀποπιπτόντων τοῦ κατ' αὐτὴν σημαινομένου. Πολλάκις τε σαφεστάτων τε ὄντων, καὶ πᾶσιν Ἕλλησι γινωσκομένων, καθάπερ ἐπεδείξαμεν ἐπὶ τῆς ἀληθοῦς φάναι· Τὸν γὰρ ὄντα ἢ καὶ γεγονότα, ὡς ἔχει καὶ γέγονεν ἑρμηνευόντων, πάντες Ἕλληνες ἑρμηνεύειν φάσκουσιν, ὥσπερ γε καὶ ψεύδεσθαι τὸν τὰ μὴ ὄντα εἶναι λέγοντα, καὶ τὰ ὄντα μὴ εἶναι.

Προσέχειν οὖν χρὴ τὸν ὁτιοῦν συλλογιζόμενον, ἢ ἀποδεικνύντα, δυσὶ τοῖς τε Πρώτοις, καὶ μάλιστα τό, τε σημαινόμενον ἐκ τῆς φωνῆς ἀκούειν κατὰ τὸ (2) τῶν Ἑλ-

(1) Ἐγράφετο, τελείων.
(2) Ἐγράφετο, τὸ κατὰ ἑλλήνων ἔθος.

λήνων ἔθος, τό, τε λαμβανόμενον λῆμμα, πότερον ὡς ὑποπεπτωκὸς ἀξιώματι καθόλου, δι' ἐκεῖνο αὐτὸ πιστὸν εἶναι, ἢ δι' ἄλλο τι· Τὰ πλεῖστα γὰρ ὧν οἱ ἄνθρωποι συλλογίζονται καὶ ἀποδεικνύουσι, κατὰ δύναμιν ἀξιώματος λέγεται· μεμνημένων ἡμῶν καὶ αὐτοῦ τοῦ κατὰ τὴν τοῦ ἀξιώματος φωνὴν σημαινομένου· Τὸν γὰρ ἐξ αὐτοῦ πιστὸν λόγον οὕτως ὀνομάζειν ὑπεθέμεθα, κατὰ τὴν προειλημμένην διδασκαλίαν· Κοινωνεῖ δὲ πολλάκις ὁ τοιοῦτος λόγος τῷ σημαινομένῳ, καθάπερ λέλεκται καὶ κατὰ τὸν αὐτὸν τοῦτον προειρημένον ἄρτι λόγον, ὃν δὴ ἐπωνόμασα ὡρισμένου σαφέστερον, Ἐρωτήσεις νεωτέρας, δι' ὧν ἀληθεύει πάντα.

Ἀλλὰ καὶ μαντικὴν εἶναι λέγειν ὥρα·

> Ἔστι μαντική, εἴπερ πάντῃ ἀληθεύει
> Δίων (1), εὔδηλον, ὅτι καὶ αὐτὸ τοῦτο,
> τὸ μαντικὴν εἶναι· εἰ δὲ ἀληθές ἐστι
> τὸ εἶναι μαντικήν, ἔστι μαντική (ΚΗ)·

Ἐν γὰρ τούτῳ τῷ λόγῳ, τὸ μὲν τῆς φωνῆς σημαίνεσθαι λόγον ἑρμηνευτικὸν τῶν ὄντων, ἐξήγησίς ἐστι τοῦ σημαινομένου πρὸς τῆς ἀληθεστάτης φωνῆς· τὸ δὲ, πάντῃ ἀληθεύειν Δίωνα, ἐν χώρᾳ τοῦ καθολικοῦ ἀξιώματος εἴρηται· τὸ δὲ, ἐς Πάντα ἀληθεύειν Δίωνα, ἓν δέ τι

(1) Ἐγράφετο, δεῖ.

καὶ τὸ ταὐτόν ἐστι (1) τῷ, μαντικὴν εἶναι ἀληθές ἐστι καὶ τοῦτο. Καὶ περὶ μὲν οὖν τούτου, κατὰ τὸ παρὸν ἀποχρήσει τὰ λελεγμένα· μεταβαίνωμεν δὲ ἐφ' ἕτερόν τι τοιόνδε.

Ἐπείπερ ἐν τῷ γένει τῶν κατὰ τὸ Πρός τι Συλλογισμῶν, ὥσπερ οἱ κατὰ τὸν μᾶλλόν τε καὶ ἧττον, οὕτω καὶ οἱ κατὰ τὸ, ὡσαύτως καὶ ἀνάλογον ἐπισκεπτέοι· καὶ τούτων ἡ Πίστις ἐκ τῶν καθόλου τινῶν ἀξιωμάτων ἤρτηται (2). Διαφερέτω δὲ μηδὲν, ἤτοι ὡσαύτως εἰπεῖν, ἢ ἴσως, ἢ ὁμοίως. Ἔστι δὲ τοιοῦτος ὁ λόγος οὗτος καὶ Πλάτωνος ἐν τῇ πολιτείᾳ γεγραμμένος. Ἀξιοῖ (3) Σωκράτης, ὡς πόλις γίγνεται καὶ λέγεται δικαία, οὕτω καὶ ψυχὴν γίγνεσθαί τε καὶ λέγεσθαι Δικαίαν· ὡσαύτως δὲ καὶ Πρᾶξιν καὶ νόμον, εἶθ' ὁτιοῦν καὶ πᾶν ὁτιοῦν τῶν δικαίων εἶναι λεγομένων, κατὰ ταὐτὸν λέγεσθαι σημαινόμενον· τὸ γὰρ εἶδος τῆς δικαιοσύνης, ἀφ' οὗ λέγεται πάντα τὰ κατὰ μέρος δίκαια, τοῦτο μὲν ἐν ἅπασίν ἐστιν ὑπάρχον· Εἰ δέ ἐστιν ὥς τι ταὐτὸν, ἐφ' οὗ ἂν ἑνὸς τῶν κατὰ μέρος ἐναργῶς ῥηθῇ (4), κἀπὶ τἄλλα πάντ' ἐνεχθήσεται· γιγνω-

(1) Ἐγράφετο, τό.
(2) Ἐγράφετο, εἴρηται.
(3) Ἐγράφετο, ἄξιος.
(4) Ἀντὶ τοῦ, ῥηθήσεται.

σκόντων ἡμῶν, οὐ καθίστησιν ἐπὶ πάντων ἐνάργειαν (1) φαίνεσθαι ταὐτὴν [τὸ] εἶδος, ἀλλ' ἐπ' ἐκείνων μὲν ἐναργεστέραν, ἐφ' ἑτέρων δ' ἀμυδροτέραν· καὶ διὰ τοῦτο προγυμνάσας τοὺς κοινωνοῦντας αὐτῷ τοῦ λόγου νεανίσκους ἐν τῷ περὶ τῆς Δικασπόλου λόγῳ, μεταβὰς ἐπὶ τὴν ψυχὴν, ἀποδείκνυσι κἀκείνην κατὰ τὸν αὐτὸν τρόπον δικαίαν λεγομένην, ὥσπερ καὶ τὴν πόλιν, ὡς εἶναι τὸν Συλλογισμὸν τοιοῦτον·

> ὡσαύτως πόλις τε καὶ ψυχὴ δίκαιαι λέγονται, καί εἰσι·
>
> πόλις δὲ δικαία λέγεται τῇ κατὰ τῶν μερῶν αὐτῆς ἰδιοπραγίᾳ·
>
> καὶ ψυχὴ ἄρα κατ' αὐτὸ τοῦτο δικαία λεχθήσεται.

Ἐπεὶ δὲ καὶ κατὰ τὸν αὐτὸν λόγον ἀποδεικνύεται (2) πάνυ πολλὰ πᾶσι τοῖς Ἀριθμητικοῖς καὶ Γεωμέτραις· καὶ εἴη ἂν προδήλως πᾶσιν ἀνθρώποις φύσει φαινόμενον, ὅτιπερ ἂν οὕτως ἀποδειχθῇ πιστὸν εἶναι, διὰ τοῦτο κἀγὼ κατὰ τὰς τῶν Συλλογισμῶν πραγματείας ἔγραψα περὶ τούτου τοῦ Συλλογισμοῦ· Παράδειγμα γὰρ τοῦτο νοήσεως

(1) Ἐγράφετο, ἐνέργειαν.
(2) Ἀντὶ τοῦ, ἀποδεικνύειν.

καὶ τοῖς ἀπείροις Ἀριθμητικῆς τε καὶ Γεωμετρίας ἔστω τόδε.

> Ὡς τὸ Α πρὸς τὸ Β, οὕτω καὶ τὸ Γ πρὸς τὸ Δ·
> τὸ δὲ Α τοῦ Β διπλάσιόν ἐστι,
> τὸ Γ ἄρα τοῦ Δ διπλάσιόν ἐστι·

Καθολικὸν δὲ καὶ κατὰ τοὺς τοιούτους λόγους ἀξίωμα νοεῖταί τε καὶ πιστεύεται πᾶσι τοιόνδε.

> Ὧν αὐτὸς ὁ λόγος καθόλου, τούτων καὶ οἱ κατὰ μέρος λόγοι πάντες, καὶ οἱ αὐτοί·

Ὥστε ὁ ὑποθέμενος ἐν τῷ αὐτῷ λόγῳ εἶναι τὸ Α πρὸς Β· ὁ λόγος [δ' εἶ]ναι διπλάσιος, οὐκ ἂν ἀρνήσηται καὶ τὸ Γ πρὸς τὸ Δ διπλάσιον εἶναι λόγον, ὥσπερ γε καὶ τριπλάσιον τοῦ Α πρὸς τὸ Β, καὶ τοῦ Γ πρὸς τὸ Α τριπλάσιον εἶναί φημι, ἢ τετραπλάσιον, ἢ πενταπλάσιον, ἢ ὡσαύτως ποσαπλάσιον πρὸς τὸ Β λογίζεται, φανεῖται καὶ τὸ Γ ματαρανα τετραπλάσιον, ἢ πενταπλάσιον εἶναι· εἰ γὰρ ἐν τῷ καθόλου ὁ αὐτὸς λόγος καὶ τοῦ Α πρὸς τὸ Β, καὶ τοῦ Γ πρὸς τὸ Δ, κατὰ μέρος λόγον, ὁ αὐτός ἐστι λόγος· εἰς δὲ τὸν κατὰ μέρος λόγον ὁ αὐτὸς ἔσται καὶ ὁ πενταπλάσιος· ἔστιν ἄρα καὶ οὗτος ὁ λόγος τοῦ Δ.

Τοὺς δὲ τοιούτους ἅπαντας Συλλογισμοὺς τῷ γένει μὲν

ἐκ τῶν Πρός τι ῥητέον, ἐν εἴδει δὲ κατ' ἀξιώματος δύναμιν συνισταμένους, ὥσπερ καὶ Ποσειδώνιός φησιν ὀνομάζειν τούτους Συνακτικοὺς κατὰ δύναμιν ἀξιώματος. Ἐπεὶ δὲ καὶ τῶν κατὰ Πρόσληψιν ὀνομαζομένων Συλλογισμῶν, οἳ ἐκ τοῦ περιπάτου γεγράφαται, ὡς χρησίμων, ἐμοὶ δὲ περιττοὶ δοκοῦσιν εἶναι· καθότι δέδεικταί μοι κἀν τῇ περὶ τῆς Ἀποδείξεως πραγματείᾳ, προσῆκον εἶναί τι καὶ περὶ τούτων εἰπεῖν.

Πόσοι μὲν οὖν καὶ τίνες εἰσὶν, οὐκ ἀναγκαῖον ἐνταῦθα διεξέρχεσθαι, τελείως εἰρηκότος περὶ αὐτῶν ἐν ἐκείνοις τοῖς ὑπομνήμασιν· ὁποῖον δέ τι τὸ εἶδος αὐτῶν, εἰρήσεται διὰ παραδειγμάτων δυοῖν· ἓν μὲν οὖν εἶδός ἐστι τοιόνδε·

Καθ' οὗ τόδε, καὶ τόδε,
ἄρα [καὶ] κατὰ τοῦδε·

Καὶ ἐπ' ὀνόμανος·

Ἐφ' οὗ δένδρον, καὶ φυτόν·
Δένδρον δ' ἐπὶ Πλατάνου,
καὶ φυτὸν ἄρα ἐπὶ Πλατάνου.

Προσυπακοῦσαι δὲ δηλονότι δεῖ τὰ κατὰ τὸν λόγον, τὸ κατηγορεῖται, ἢ λέγεται· ὡς εἶναι τὸν ὁλόκληρον λόγον τοιόνδε

Καθ' οὗ δένδρον κατηγορεῖται, κατὰ τούτου καὶ φυτὸν κατηγορεῖται·
Δένδρον δὲ Πλατάνου κατηγορεῖται,
καὶ φυτὸν ἄρα Πλατάνου κατηγορηθήσεται·

Ἕτερον δὲ εἶδος Συλλογισμῶν ἐκ τῶν κατὰ Πρόσληψιν·

ὁ κατὰ τοῦδε καὶ κατὰ τοῦδε·

Ἐπ' ὀνομάτων δὲ,

Ὁ κατὰ δένδρου καὶ Πλατάνου·
φυτὸν δὲ κατὰ τοῦ δένδρου,
καὶ κατὰ Πλατάνου ἄρα.

Οἱ δὲ τοιοῦτοι Συλλογισμοὶ, τῶν κατηγορικῶν ἐπιτομαί τινές εἰσιν, οὐχ ἕτερον γένος αὐτῶν· Ἀποδεδειχὼς (1) οὖν, ἐν οἷς εἶπον Ὑπομνήμασιν, οὐδὲν ἔτι δέομαι λέγειν ἐνταῦθα περὶ τῶν αὐτῶν· Κατὰ γὰρ τὰς εἰσαγωγὰς αὐτῶν, οὐδὲν δεῖ τῶν χρησίμων παραλείπεσθαι· τοὺς δ' ἐλέγχους τῶν περιττῶν μὴ (2) λέγεσθαι· διὰ τοῦτο οὖν οὐδὲ τοὺς ὑπὸ Χρυσίππου συντεθέντας ἐν ταῖς τρισὶ Συλλογιστικαῖς ἀχρήστοις ἀποδεικτέον (3) μοι νῦν ἐστιν ἀχρήστους

(1) Ἐγράφετο, ἐπιδεδειχώς.
(2) Ἐγράφετο, μέν.
(3) Ἀντὶ τοῦ, ἐπιδεικτέον.

ὄντας· Ἑτέρωθι γὰρ ἔδειξα τοῦτο, καθάπερ καὶ τῶν Περαντικῶν (ΚΘ) ὑπ' αὐτοῦ κληθέντων· ἐδείχθη γάρ. Καὶ τούτων ἔνιοι μὲν οὐκ ἴδιόν τι γένος ὄντες Συλλογισμοὶ, ἀλλὰ πεπονθυίας λέξεως ἑρμηνευομένου, ποτὲ μὲν κατ' ἀκολουθοῦσαν ὑπέρθεσιν, [ποτὲ δὲ κατ' ἄλλοτι πάθος]. Οἱ δὲ Ὑποσυλλογιστικοὶ κληθέντες, ἐν ἰσοδυναμούσαις λέξεσι τοῖς Συλλογιστικοῖς λεγομένοις. Τέλος δ' οἱ περὶ τρίτου πρὸς αὐτοὺς, οὓς Ἀμεθόδους ὀνομάζουσιν, οἷς οὐδενὸς ὄντος ὅλως μεθοδικοῦ λόγου, συλλογιστέον.

ΤΕΛΟΣ.

ΠΑΡΕΚΒΟΛΑΙ.

ΠΑΡΕΚΒΟΛΑΙ.

—

Α. Τὰ μὲν αἰσθήσει, τὰ δὲ νοήσει γινώσκομεν] Παλαιὰ δόξα φιλοσοφικὴ, ἧς καὶ οἱ Πλατωνικοὶ, ἀντείχοντο, κατὰ Διογένην τὸν Λαέρτιον ἐν βίῳ τοῦ Πλάτωνος, ἔνθα φησί·

« Φασὶν οἱ σοφοὶ τὴν ψυχὴν, τὰ μὲν διὰ τοῦ σώματος αἰσθά-
« νεσθαι, οἷον ἀκούουσαν, βλέπουσαν. Τὰ δ' αὐτὴν καθ' ἑαυτὴν
« ἐνθυμεῖσθαι, μηδὲν τῷ σώματι χρωμένην· διὸ καὶ τῶν ὄντων,
« τὰ μὲν αἰσθητὰ εἶναι, τὰ δὲ νοητά·

Ἀλλὰ καὶ ὁ Ἀλκίνους ἐν τῷ περὶ Πλάτωνος δογμάτων φησὶ,

« Διττὸς ὁ τῷ ἀνθρώπῳ δυνατὸς λόγος· ὁ μὲν περὶ τὰ νοητὰ,
« ὁ δὲ περὶ τὰ αἰσθητά· καὶ ὁ μὲν περὶ τὰ νοητὰ, ἐπιστήμη
« τέ ἐστι, καὶ ἐπιστημονικὸς λόγος· ὁ δὲ περὶ τὰ αἰσθητὰ, δο-
« ξαστικός τε καὶ δόξα. Ὅθεν ὁ μὲν ἐπιστημονικὸς τὸ βέβαιον
« ἔχει καὶ μόνιμον, ἅτε περὶ τῶν βεβαίων καὶ μονίμων ἀρχῶν·

« ὁ δὲ πιθανὸς καὶ δοξαστικὸς, πολὺ τὸ εἰκὸς, διὰ τὸ μὴ περὶ τὰ « μόνιμα εἶναι· Ἐπιστήμης δὲ τῆς περὶ τὰ νοητὰ, καὶ δόξης τῆς « περὶ τὰ αἰσθητὰ, ἀρχαὶ, νόησίς τε καὶ αἴσθησις.

Καὶ οἱ Στωϊκοὶ δὲ ταὐτὰ ἐδόξαζον, κατὰ Λαέρτιον ἐν βίῳ Ζήνωνος· Διῄρουν γὰρ τὰς φαντασίας εἰς αἰσθητικὰς, καὶ μή· καὶ αἰσθητικὰς μὲν, τὰς δι᾽ αἰσθητηρίου, ἢ δι᾽ αἰσθητηρίων λαμβανομένας· μὴ αἰσθητικὰς δὲ, τὰς διὰ τῆς Διανοίας, καθάπερ τῶν ἀσωμάτων, καὶ ὅσα λόγῳ λαμβάνεται.

Ἐντεῦθεν δὲ καὶ αἱ ἔμφυτοι ἰδέαι παρὰ τοῖς νεωτέροις ἀνεπήγασαν, ὧν μάλιστα προέστη ὁ Γάλλος Δεκάρτης, ὃν Εὐγένιος μὲν ὁ Βούλγαρις Καρτέσιον καλεῖ· ἄλλοι δὲ, Καρτήσιον.

Β. Προτεινόμεθά τι περὶ τῆς τῶν ὄντων φύσεως.] Σχεδὸν καὶ ὁ Ἀμμώνιος ἐν τῷ περὶ Ἑρμηνείας οὕτως ἐτυμολογεῖ τὸ τῆς Προτάσεως ὄνομα, ἐν οἷς φησιν·

« Ὡς γὰρ προτεινομένους τοὺς ἀποφαντικοὺς λόγους ὑπὸ τῶν « συλλογίσασθαί τι βουλομένων τοῖς κοινωνοῖς τῶν λόγων, οὕτως « οἱ παλαιοὶ Προτάσεις ὀνομάζουσιν.

Ἔοικεν ἄρα πρότασις καὶ Ἀπόφανσις ταὐτὸν σημαίνειν, ἐπεὶ προτείνεται ὁ ἀποφαντικὸς λόγος. Καὶ Βλεμμίδης δὲ ἐν Ἐπιτομ. Λογ. κεφ. κζʹ, Πρότασιν, Πρόβλημα, Ἀπόφανσιν, Ἔνστασιν, Συμπέρασμα, ἅπαντά φησι διαφέρειν μὲν κατὰ σχέσιν, οὐχὶ δὲ κατὰ τὸ ὑποκείμενον. Ἀλλὰ γὰρ κατά γε τὸν λόγον, ὅς γ᾽ ἐστὶν ὑποκείμενον, οὐδὲν διενήνοχε· τὰ δ᾽ ἄλλα καὶ πάνυ· οὐ γὰρ ὁ ἀποφαινόμενος ἀεὶ προτείνει, οὐδ᾽ ὁ ἐνιστάμενος προβάλλεται, καθάπερ δὴ καὶ ὁ ἐρωτῶν καὶ ἀποκρινόμενος· ἡ γὰρ Ἔνστασις ἀπεναντίας βαίνει τῇ τε ἀποφάνσει καὶ τοῖς λοιποῖς.

Γ. Τὸ μὲν Ἀξίωμα ἄλλοι ἄλλως ὡρίσαντο, βέλτιον δ᾽ ὁ Χρύσιππος, εἰπὼν ἀποφαντὸν ὅσον ἐφ᾽ ἑαυτῷ· οἴκοθεν γὰρ τὸ πιστὸν ἔχει, καὶ ἀπροσδεὲς ἀποδείξεως· Κληθῆναι μέν τοι Ἀξίωμα παρὰ τὸ ἀξιοῦσθαι

ἢ ἀθετεῖσθαι, οὔ μοι δοκεῖ ὀρθῶς ἔχειν. Τίς γὰρ ἂν ἀθετήσειε τὸ ταὐτῷ ταὐτὰ, καὶ ἀλλήλας εἶναι ταὐτά; ἀναθέτητοι δὲ αἱ κοιναὶ ἔννοιαι. Ὅθεν καὶ οἱ Μαθηματικοὶ δίκην θεμελίων προτίθενται ταῦτα, ἐφ' ἃ οἰκοδομοῦσι πάντα λογισμὸν τοῦ τε πλήθους, καὶ τοῦ μεγέθους· Οἴομαι δὲ ἀξίωμα εἰρῆσθαι παρὰ τὸ ἀξιοῦσθαι ὑπὸ πάντων οὕτως ἔχειν· ἔχει δὲ ἀξίαν τοῦ ἀληθοῦς. Οἶμαι δὲ καὶ τοὺς Στωϊκοὺς συγκεχυκέναι τοῦτο τῇ παρὰ ῥήτορσιν ἀξιώσει, χώραν ἐχούσῃ κατὰ τὴν βάσιν τῶν Προοιμίων, ἐσθ' ὅτε δὲ καὶ κατὰ τὰς Δευτερολογίας· ἔνθα ἡ ἀξίωσις ἀξιοῦντος τοῦ ῥήτορος, ὅμως ἀθετεῖται πολλάκις. Ἐν δὲ τῇ Διαλεκτικῇ ἀνάγκη εἶναι ταὐτὸν τῷ τῆς Μαθηματικῆς. Ἐκ γὰρ ἀθετουμένων οὐδὲν ἂν συνάγοιτο. Ταὐτὸν γὰρ ἂν εἴη τῷ διαλέγεσθαι πρὸς τὸν ἀναιροῦντα τὰς ἀρχάς. Καὶ τὰς Προτάσεις δὲ καταχρηστικῶς εἰρῆσθαι ἀξιώματα, καθὸ καὶ διῄρουν αὐτὰ εἰς ἁπλᾶ, τὰ καὶ ἀδιαφόρητα, καὶ εἰς σύνθετα, τὰ διαφορητὰ, καθ' ἃ δύναται ὑπάρχειν τι καὶ μὴ ὑπάρχειν, ὃ καὶ τὰς καλουμένας Ὑποθετικὰς συνίστα παρ' αὐτοῖς Προτάσεις· περὶ ὧν κατωτέρω εἰρήσεται.

Καὶ εὖ ἔχει δι' Ἀξιώματος ἐννοεῖν, λόγον Ἀποφαντὸν ἀναπόδεικτον· καθὸ καὶ κοινὰς ἐννοίας ὀρθῶς τινες ἐκάλεσαν· ὡς ἁπάντων ὁμολογούντων, τὰ δὶς δύο, ποιεῖν τέτταρα.

Καὶ ὀρθῶς ὁ ἐν τοῖς ἐμοῖς καταλόγοις μνησθεὶς ὑπομνηματιστὴς τοῦ Ἀριστοτέλους φησὶν, ὁριζόμενος τὸ ἀξίωμα·

« Τὸ μὲν Ἀξίωμά ἐστιν ἀρχὴ ἀποδεικτικὴ ἀναπόδεικτος ἐκ
« τῶν προτέρων· ἣν οἴκοθεν ἔχειν ὁ μαθητιῶν ὀφείλει πρὸ τοῦ
« μετιέναι τὴν ἐπιστήμην, καὶ πρὸ τοῦ φοιτῆσαι ἐς διδασκάλου·
« μήτε δεῖσθαι ἀναπτύξεως ὑπ' αὐτοῦ, ὡς ἐκ φυσικῶν ἐννοιῶν
« ἀρτώμενον, ὡς πᾶσι πρόδηλον οὖσαν, καὶ πᾶσιν ἔμφυτον τὴν
« ἐκείνης ἀλήθειαν ὑπάρχουσαν· οἷον, ὅταν λέγῃ τις,

ὁ Θεός ἐστιν ἀγαθός·

ὁ Ἥλιος λάμπει·

τὸ κατὰ μηδενὸς τὸ αὐτὸ φάναι καὶ ἀποφάναι· ἢ

περὶ παντὸς φάναι ἢ ἀποφάναι τὸ αὐτὸ, οὐκ ἀληθές·
Τὸ ὅλον μεῖζόν ἐστι τοῦ οἰκείου μέρους·

« Καὶ ὅσα ἄλλα, αὐτόθεν δῆλα ὄντα· ἃς καὶ κοινὰς ἐννοίας
« εἰώθασιν ἀποκαλεῖν.

Δ. Οὐ διενηχθησοίμεθα δ' ἂν τούτων τὰς θέσεις.] Πλεοναχῶς γὰρ λαμβάνεται καὶ αὕτη ἡ λέξις· ὡς καὶ Ἀμμώνιός φησιν ἐν τῷ περὶ Ἑρμηνείας·

« Τάς τε γὰρ Ὑποθέσεις, Θέσεις προσαγορεύομεν πολλάκις...
« καὶ τὰς παραδόξους ὑπολήψεις τῶν γνωρίμων τινὸς κατὰ φιλο-
« σοφίαν, καὶ τὰς Ὁμολογίας, ἤτοι Προτάσεις.... Καὶ τὰ Ἐπιρ-
« ρήματα τὰ Θετικὰ, Θέσεις καλοῦσί τινες. ... Ἔτι Θέσεις καὶ
« τοὺς Ὁρισμοὺς, ὡς προϋποκειμένους τῶν ἀποδείξεων.... Καὶ
« ἔτι τούτου κοινότερον Θέσεις ἀξιοῖ καλεῖν Ἀριστοτέλης ἁπλῶς
« ἁπάσας τὰς ἀμέσους ἀρχὰς τῶν ἀποδείξεων, τὰς ἀντιδιαιρου-
« μένας τοῖς Ἀξιώμασιν· οἷον, τούς τε Ὁρισμοὺς, καὶ τὰ Αἰτή-
« ματα· καὶ τὰς Ὑποθέσεις, ἀποδείξεως μὲν ἤδη δεομένας, ἄνευ
« δὲ ταύτης εἰλημμένας.

Ὁ δὲ Βόηθος ἐν τῷ α' τῶν Τοπικῶν αὐτοῦ προσχρώμενος ταῖς λέξεσί φησιν οὐκ ὀρθῶς·

« Αἱ μὲν Θέσεις τοῖς φιλοσόφοις, αἱ δὲ Ὑποθέσεις
« ἀπενεμήθησαν τοῖς ῥήτορσιν.

Θέσις δὲ παρὰ τοῖς φιλοσόφοις, ἀρχὴ ἀποδεικτικὴ, δεικνυμένη μέν τοι γε ἀπὸ τῶν ὑστέρων· οἷον παρὰ τοῖς φυσικοῖς,

τὸ ἐκ μηδενὸς μηδὲν γίνεσθαι·
Πάντα τὰ φυσικὰ σώματα ἐξ ὕλης εἶναι
καὶ εἴδους·

ἢ τὰ παρὰ τοῖς Ἰατροῖς

τὰ ἐναντία τοῖς ἐναντίοις ἰάματα·
τὰ σώματα σύγκειται ἐκ τῶν πρώτων
φυσικῶν στοιχείων.

Ὁ Γαληνὸς ἐνταῦθα περὶ τῶν Κατηγορικῶν Προτάσεων διδάσκει· κατὰ δὲ τὴν 6 σελίδα ἐρεῖ περὶ τῶν Ὑποθετικῶν, αἵπερ ἀντιδιήρηνται πρὸς τὰς Κατηγορικάς· καὶ θαυμάζω, πῶς παράδειγμα τέθεικε τὸ, εἴπερ πρόνοιά ἐστι. Ἔδει γὰρ λέγειν πρόνοιά ἐστιν, ἁπλῶς ἄνευ τοῦ εἴπερ. Καὶ γὰρ, ὡς ἀνωτέρω εἴρηται, τὰς Κατηγορικὰς τῶν Προτάσεων, οἱ Στωϊκοὶ ἁπλᾶ Ἀξιώματα ἐκάλουν, τὰ καὶ ἀδιαφόρητα· οἷον Ἡμέρα ἐστί· τὸ δὲ εἴπερ πρόνοιά ἐστι διφορούμενόν ἐστι κατηγόρημα, ταὐτὸν τῷ εἰ ἡμέρα ἐστίν· ἡμέρας γὰρ οὔσης ὀρθῶς λέγεται, νυκτὸς δὲ, ψευδῶς. Καὶ οἶμαι ἀμαθής τις ἀντιγραφεὺς προσέγραψε τὸ εἴπερ, ὃ καὶ περιαιρετέον. Μάλιστα δὲ καὶ Γαληνὸς αὐτὸς, τὰς Κατηγορικὰς προτάσεις ἐκ τῶν Κατηγοριῶν συγκεῖσθαι προθέμενος λέγειν, ἀπὸ τῆς ἁπλῆς ὑπάρξεως, ἣν ἀντὶ τῆς οὐσίας λαμβάνει, ἄρχεται. Εἰ μή τις φαίη, ὅτι καὶ τὰς Ὑποθετικὰς συμπεριείληφε, δύο προθεὶς παραδείγματα τὸ μὲν τῶν Ὑποθετικῶν,

εἴπερ πρόνοιά ἐστι·

τὸ δὲ τῶν Κατηγορικῶν,

Ἱπποκένταυρος οὐκ ἔστιν αἴνιγμα·

Καὶ ὅτι ἀπὸ τοῦ Δευτέρου Παραδείγματος ἄρχεται ἰδίως περὶ τῶν Κατηγορικῶν λέγειν· ἀπὸ τοῦ

Ὁ ἀὴρ σῶμά ἐστιν·

Εἰ δέ τις τοῦθ' αἱρεῖται μᾶλλον, ἐατέον ὡς ἔχει τὸ εἴπερ. Παρέ-

θηκε δὲ παραδείγματα τῶν λοιπῶν Κατηγοριῶν πλὴν τοῦ ἔχειν ἐνταῦθα, κατωτέρω δὲ, καὶ τούτου.

Οἶμαι δὲ τὸν Βλεμμίδην ἐντεῦθεν λαβόντα τοὐνδόσιμον, διελεῖν τὴν οὐσίαν, ἐν τῷ ιθ′ κεφ. εἰς τὴν ἁπλῶς ὕπαρξιν καὶ εἰς τὴν ἀντιδιαιρουμένην τοῖς Συμβεβηκόσι.

Ε. Κατηγορούμενον δὲ τὸ περιπατεῖν.] Οἱ ἀπὸ τῆς Στοᾶς κυρίως ῥῆμα τὸ Ἀπαρέμφατον ἔλεγον, ὡς δυνάμενον καὶ ὑποκεῖσθαι καὶ κατηγορεῖσθαι· οἷον,

τὸ φιλοσοφεῖν ἐστιν ἡδύ·
Καλόν ἐστι τὸ τεθνάναι ὑπὲρ Πατρίδος
μαρνάμενον (1).

(1) Ὅτε μὲν τοὺς ὅρους σχηματισμῷ Συλλογιστικῷ ἐκφέρομεν, ἐπάναγκες τὸν καθολικώτερον τιθέναι ἐν κατηγορουμένου τάξει, καὶ τὸν μερικώτερον, ἐν τῇ τοῦ ὑποκειμένου. Διαλεγόμενοι μέντοι ἢ γράφοντες, τὸ τὴν τάξιν παρατηρεῖν, καὶ ὑπότυφον. Ἐπιδεικτιᾷ γὰρ ὁ τοῦτο ποιῶν, πρὸς τῷ περιττῷ· ἀλλ' ὥσπερ γραμματικῶς ἀδιάφορον τὸ ἐκ πρώτου τὴν πρώτην τάξιν ἐπέχειν ἐν τῷ λόγῳ, καὶ τὸ ἐκ τρίτου, τὴν τρίτην· οὕτω καὶ Συλλογιζομένοις. Ἀντὶ γὰρ τοῦ εἰπεῖν ὁ Σωκράτης ἐστὶ σοφὸς, λέγοιμ' ἂν σοφός ἐστιν ὁ Σωκράτης· ἢ ἔστι σοφὸς Σωκράτης. Ὥςπερ γὰρ τῷ ῥητορικῷ κρυπτέα τὰ τῆς τέχνης, ἵνα κατὰ φύσιν ὁ λόγος φαίνηται, οὕτω κἀνταῦθα τῷ Διαλεκτικῷ· Οὐδὲ γὰρ μιμητέον τινὰς τῶν νεωτέρων ῥητόρων, οἵ γε προδηλοῦσι τοῖς ἀκροαταῖς, καὶ οἷς περ κεφαλαίοις χρήσονται ἐν τῳ λέγειν· Ὁ γὰρ εἰδὼς τὴν τέχνην, κἂν ὁ λέγων κρύπτῃ καὶ κεφάλαια, καὶ τρόπους, καὶ ἐπιχειρήματα, κατανοήσει ταῦτα· ὁ δὲ ταύτην μὴ εἰδὼς, οὐθ' ὃ λέγει ὁ ῥήτωρ κατανοεῖν ὄνομα δυνήσεται.

Ἐν οἷς μέντοι γε, μετατεθέντων τινῶν, τὰ τῆς ἐννοίας μεταβάλλει, ἀνάγκη τὴν τάξιν τῶν ὅρων φυλάττεσθαι πρὸς τὴν ἔννοιαν, ὡς ἐπὶ τῶν μετὰ τρόπου λεγομένων προτάσεων, καθά φασιν οἱ νεώτεροι τῶν Περιπατητικῶν. Εἰ μὲν γὰρ ὁ τρόπος παντὸς προτεθείη τοῦ λεγομένου ἢ τῆς ἀποφάνσεως, ἢ ὑποτεθείη· δύο τηνικαῦτα ἐνέργειαι ἂν δηλωθεῖεν, καὶ πολλάκις ἀντικείμεναι συντεθεῖεν ἂν ἐν τῷ αὐτῷ, ὡς εἰ συγκατηγοροῖτο τὸ ὑποκείμενον τῷ κατηγορουμένῳ κατὰ τοῦ αὐτοῦ· οἷον

Εἶναι δὲ τὸ ῥῆμα ἁπλῶς κατηγορούμενον καὶ Ἀριστοτέλης ἐν τῷ περὶ Ἑρμηνείας φησὶ, λέγων εἶναι τῶν καθ' ἑτέρου λεγομένων· καὶ ἅπαντες δὲ οἱ Διαλεκτικοὶ, κατά γε τὸν Πλούταρχον· φησὶ γὰρ ἐν τοῖς Πλατωνικοῖς Ζητήμασιν·

« Ἡ πρότασις δὲ ἐξ ὀνόματος καὶ ῥήματος συνέστηκεν· ὧν τὸ « μὲν πτῶσιν οἱ Διαλεκτικοὶ, τὸ ῥῆμα δὲ, κατηγόρημα κα- « λοῦσι. Παρὰ μέν τοι Διογένει τῷ Λαερτίῳ, ἐν βίῳ Ζήνωνος « τοῦ Κιττιέως φέρεται. Τὸ ῥῆμα σημαίνειν ἀσύνθετον « κατηγόρημα. »

Περὶ οὗ ὁ τὰ ἄλλα σοφὸς Εὐγένιος ὁ Βούλγαρις, οὐ σοφῶς καθάπτεται τῶν Στωϊκῶν, ἐν οἷς φησιν·

« Οἱ ἐκ τῆς Στοᾶς, ἀσύνθετον κατηγόρημα, τὸ ῥῆμα « εἰπόντες, Λεκτὸν ἐλλιπὲς ἀπέδωκαν, πρὸς διαφορὰν τῶν « αὐτοτελῶν, οἷα παρ' αὐτοῖς ἦν τὰ Ἀξιώματα, τουτέστιν αἱ « Προτάσεις. Δέον ἀλλ' οὖν καὶ διὰ παραδείγματος τὸ ἐλλιπὲς « τῶν κατηγορημάτων ὑποδεῖξαι, ὡς ἀναπάρτιστον ἐχόντων τὴν

Δυνατὸν, τὸν κάμνοντα ὑγιαίνειν,

τὸν κάμνοντα ὑγιαίνειν, ἐστὶ δυνατόν·

Ἐν ταύταις γὰρ τὸ κάμνειν καὶ τὸ ὑγιαίνειν κατὰ ταὐτοῦ κατηγορεῖται· ὡς γίνεσθαι τὸ λεγόμενον, Σύνθετον ἀπόφανσιν μετὰ τρόπου· ὡς ἐνδέχεσθαι τὸν αὐτὸν καὶ κάμνειν καὶ ὑγιαίνειν· τοῦ δὲ τρόπου μεταξὺ τεθέντος, τὸ δυνατὸν οὐ πρὸς ἀμφότερα ἅμα, ἀλλὰ παρὰ μέρος σημαίνειν· οἷον,

τὸν κάμνοντα δυνατόν ἐστιν ὑγιαίνειν,

ὅ ἐστι, τὸν κάμνοντα δυνατὸν ὑγιᾶ γενέσθαι, ἐκποδὼν γενομένης τῆς νόσου. Ὅπερ δὴ καὶ ὀνομάζουσιν· Ἁπλῆν μετὰ τρόπου ἀπόφανσιν. Ὅμως δὲ κἀνταῦθα διαιροῦντες τὸν τοῦ κάμνειν καὶ ὑγιαίνειν χρόνον, τἀληθὲς γνωσόμεθα.

« ἐκφορὰν, οἷον τὸ, γ ρ ά φ ε ι, ἔφασκον· ἐπιζητοῦμεν γὰρ, τίς.
« Τὸ μέντοι ἐν πρώτῳ καὶ δευτέρῳ προσώπῳ κ α τ η γ ό ρ η μ α,
« ὡς γοῦν ἐκ τοῦ ἐπενεχθέντος λόγου, οὐκ ἂν τοῖς ἐλλιπέσι
« συγκατελέξειαν· γελοῖον γὰρ, εἴ τις, ἐμοῦ εἰπόντος, ὅτι γράφω,
« ἐπιζητήσειε, τίς·

Καὶ ταῦτα ὁ Εὐγένιος, ὃς μέγα κλέος ἤρατο ἐπὶ μαθήσει ἔν τε τῇ Ἑλλάδι, καὶ ἐν ἁπάσῃ τῇ Ῥωσσίᾳ. Πολλὰ μέν τοι ἐν τῇ πολυμαθεστάτῃ αὐτοῦ Λογικῇ ὁμοίως παρανενόηται. Ἅπερ καὶ ἐκ πολλοῦ ἐσημειωσάμην, ἐλέγξας ἐν τεύχει Ἰδίως ἐν τοῖς ἐμοῖς χειρογράφοις· οἷόν περ καὶ τοῦτο. « Πρωτοπροσωποῦν γὰρ ἢ δευτεροπροσωποῦν τὸ ῥῆμα, ἔλεγον ἀ σ ύ ν θ ε τ ο ν κ α τ η γ ό ρ η μ α. » Οὕτω δ' ἐπὶ λέξεως κεῖται παρὰ Διογένει τῷ Λαερτίῳ·

« Ῥῆμα δέ ἐστι μέρος λόγου, σημαῖνον ἀ σ ύ ν θ ε τ ο ν κ α τ η-
« γ ό ρ η μ α, ὡς Διογένης, ἢ ὥς τινες, Στοιχεῖον λόγου ἄπτωτον,
« σημαῖνον, τ ί σ υ ν τ α κ τ ὸ ν π ε ρ ί τ ι ν ο ς, ἢ τ ι ν ῶ ν· οἷον,
« γ ρ ά φ ω, λ έ γ ω·

Δῆλον δ' ὅτι ταῦτα ἀ σ ύ ν θ ε τ α μέν εἰσι κ α τ η γ ο ρ ή μ α τ α, οὐκ ἐλλιπῆ δὲ, οὐδ' ἀναπάρτιστον ἔχοντα ἐκφοράν· ἐνυπάρχει γὰρ ὁ ὑποκείμενος ὅρος ἀριδήλως ἐννοούμενος ἐν τῷ λ έ γ ω καὶ λ έ γ ε ι ς (1)· ἅπερ οὐ ταὐτὸν ἑρμηνεύει τοῖς ἐ γ ὼ λ έ γ ω, σ ὺ λ έ γ ε ι ς, ἐνδεικτικὴν ἔμφασιν ἔχουσι, καὶ ἀναγκαίως ἐφελκομένοις τὸ, ο ὐ κ ἄ λ λ ο ς (2).

(1) Εἰ γὰρ ἐγίνωσκον ὅτι ἀναγκαῖα τὰ πρῶτα καὶ δεύτερα πρόσωπα εἰς σύστασιν ἀξιώματος, οὐκ ἂν σιγῇ παρῆλθον· εἰ δὲ καὶ ἐν ταῖς νεωτέραις γλώσσαις ἀεὶ συνόντα τὰ πρόσωπα ταῦτα, γνώμην ἐνέβαλε τῷ Εὐγενίῳ τοῦ καταφέρεσθαι τῶν Στωϊκῶν, οὐκ ὀρθῶς ἔχει· ἔτι γὰρ ἀδιαμόρφωτοι αἱ νεώτεραι τῶν γλωσσῶν· καὶ διαμεμορφωμένων μέντοι τεθεισῶν, τό γ' ἐφ' ἑαυταῖς· οὐκ ἂν παράδειγμα γένοιντο πρὸς τὴν Ἑλληνικήν.

(2) Εἴρηταί μοι περὶ ταύτης τῆς ἐκφορᾶς ἐν τῇ Θεωρίᾳ τῆς Ἑλληνικῆς γραμματικῆς, Ἑλληνιστὶ καὶ Γαλλιστὶ συνταχθείσῃ, καὶ ἐκδοθείσῃ τῷ 1827.

Τὸ γὰρ παρὰ τοῖς Στωϊκοῖς ἀσύνθετον κατηγόρημα, οὐ ταὐτὸν τῷ ἐλλιπεῖ κατηγορήματι· δῆλον δ' ἐξ ὧν παρακατιὼν φησιν ὁ Λαέρτιος· οἷον,

> « Τῶν Λεκτῶν τὰ μὲν λέγουσιν εἶναι αὐτοτελῆ, τὰ δ'
> « ἐλλιπῆ, οἷον γράφει·

ἐν τούτοις γὰρ τοῦ ἐλλιποῦς παράδειγμα τέθεικε τὸ γράφει· καὶ σαφὲς, τὸ τριτοπροσωποῦν οὐκ ἀσύνθετον, ἀλλ' ἐλλιπὲς κατηγόρημα ἐλέγετο ὑπὸ τῶν Στωϊκῶν, ὅθεν ἐπάγει·

> « Ἐν μὲν οὖν τοῖς ἐλλιπέσι Λεκτοῖς τέτακται τὰ κατηγορήμα-
> « τα, ὡς τὸ γράφει· ἄδηλον, τὶς ὁ γράφων· ὁμοίως καὶ τὸ
> « περιπατεῖ.

Καὶ δῆλον, ὅτι τὸ ἐλλιπὲς κατηγόρημα ἐπὶ τῶν τριτοπροσωπούντων ῥημάτων λεχθήσεται, πλὴν τὰ ἀνελλιπῆ ἐκεῖνα, λέγω τὸ ὕει, βροντᾷ, ἀστράπει, καὶ εἴ τι τούτοις παρεμφερές· ἅπερ καὶ μονολημμάτους Προτάσεις ἄλλοι λέγουσιν. Οὐ μὴν ἀλλὰ φανερὸν καὶ ἐξ αὐτῆς τῆς φύσεως τῶν ῥημάτων τε καὶ προτάσεων, ἀεὶ ἐν τρίτῳ προσώπῳ ἐκφερομένων, ἡνίκα τι προτίθεται ζήτημα περὶ τῶν ὄντων· οἷον, ἡ γῆ κινεῖται, ὁ Ἥλιος ἵσταται· ὁ Σωκράτης φιλοσοφεῖ. Περὶ γὰρ τῶν ἐκτὸς ἡμῶν ἡ πλείστη καὶ γνῶσις καὶ ζήτησις, οὐ περὶ ἡμῶν· ταῦτα δὲ ἀεὶ τρίτου προσώπου.

Καὶ ταῦτα μὲν πρὸς Εὐγένιον τὸν Βούλγαριν ὑπὲρ τῶν Στωϊκῶν, ὀρθῶς λεγόντων ἀσύνθετον κατηγόρημα ἐπὶ τῶν πρωτοπροσωπούντων, καὶ δευτεροπροσωπούντων ῥημάτων, καὶ Ἐλλιπὲς κατηγόρημα, ἐπὶ τῶν τριτοπροσωπούντων. Ἐπεὶ δὲ τέλειον κατηγόρημα ἐμφαίνει τὰ πρωτοπροσωποῦντα καὶ δευτεροπροσωποῦντα, τούτου γ' ἕνεκα καὶ τὴν πρότασιν διεῖλον οἱ Διαλεκτικοὶ, τὴν μὲν ἐξ ἑνὸς κειμένου καλοῦντες· οἷον, ἡ γράφω, περιπατῶ, διαλέγομαι· καθὰ καὶ τρέχεις, φιλοσοφεῖς, γεωμετρεῖς· τὴν δ' ἐκ δευτέρου προκειμένου· οἷον ἡ Σωκράτης διαλέγεται· καὶ τὴν ἐκ τρίτου προσκατηγο-

ρουμένου, ὡς ἡ Σωκράτης ἐστὶ ζῷον. Ἐν ᾗ καὶ ἐνεργείᾳ πρόσκειται τὸ ἐστίν· Ὅπερ ἀρχοειδὲς μὲν ῥῆμα εἰρήκασι, διὰ τὸ πᾶν ἕτερον ῥῆμα εἰς αὐτὸ ἀναλύεσθαι, καὶ εἰς τὴν ἰδίαν μετοχήν· οἷον γράφω, γράφων εἰμὶ· λέγω, λέγων εἰμί· καὶ τὰ ὅμοια· ἰδίως δὲ Σύνδεσμον οἱ Διαλεκτικοὶ καλοῦσιν. Ὁ μέν τοι Γαληνὸς οὐκ οἶδ' ὅπως Ἐπίῤῥημα τοῦτ' εἶπεν· εἴασα δὲ κατὰ χώραν τὴν λέξιν, ἀρκεσθεὶς τῇ τοῦ ἀστερίσκου σημειώσει· ὀρθότερον δ' ἂν οἶμαι κληθείη προσκατηγόρημα, ἐπεὶ καὶ προσκατηγορούμενον εἰρήκασι.

Ἰστέον δὲ, ὅτι πᾶσα Πρότασις ἡ μόνον ἐκ προσκειμένου, ἀναλυθείη ἂν κατά γε τὸ κατηγόρημα, ὡς γενέσθαι ἐκ προσκατηγορουμένου, εἰς μετοχὴν, φυλαττομένης τῆς ἐννοίας, ὡς τὸ Σωκράτης φιλοσοφεῖ, ἢ Σωκράτης ἐστὶ φιλοσοφῶν, οὐ μὴν δὲ εἰς ὀνοματικόν τι συνωνυμοῦν τῷ ῥήματι, οἷον τὸ Σωκράτης ἐστὶ φιλόσοφος· οὐ γὰρ ταὐτὸν ἐμφαίνει ἡ Σωκράτης φιλοσοφεῖ τῇ Σωκράτης ἐστὶ φιλόσοφος, τῷ τὸ ῥῆμα ἢ τὴν μετοχὴν ἀεὶ συσσημαίνειν τῷ λεκτῷ χρόνον, καθ' ὃν καὶ ἀληθὴς ἢ ψευδὴς ἔσται· ἅμ' ἔπος γὰρ καὶ ἐνέργεια, ἢ πάθησις ἐν τοῖς τοιούτοις, ὅπου καὶ ἀτελὲς τὸ λεγόμενον. Ὄντος δὲ ὀνοματικοῦ τοῦ κατηγορουμένου, οἷον ἐν τῇ Σωκράτης ἐστὶ φιλόσοφος· τὸ, φιλόσοφος ὑπάρχει ἤδη τῷ Σωκράτει· οὐκ ἐγγίνεται· ὁμοίως δὲ καὶ ἡ πλάτανός ἐστι δένδρον, πάνυ διαφέρει τῆς, ἡ πλάτανος δενδροῦται, ἢ δενδρουμένη ἐστίν· οὔπω γὰρ γέγονε δένδρον, ἀλλ' ἐν τῷ γίγνεσθαι εἶναι δηλοῦται. Διὸ καὶ αἱ νεώτεραι τῶν γλωσσῶν, αἱ δι' ὀνοματικοῦ, καὶ τοῦ ἐστὶν ἐκφέρουσαι τὸν παθητικὸν ἐνεστῶτα, οὐκ ἐνεστῶτα ἐμφαίνουσιν, ἀλλὰ παρῳχηκότα χρόνον· οἷον τὸ Γαλλιστὶ je suis frappé οὐ δηλοῖ τὸ τύπτομαι ἢ τὸ τυπτόμενος εἰμί. Τὸ γὰρ ὑπάρχον οὐκ ἐν ἐντελεχείᾳ, Ἀριστοτελικώτερον φάναι, ἀλλ' ἐν τελειότητι· καὶ οὐκ ἐν τῷ γίγνεσθαι, ἀλλ' ἐν τῷ εἶναι· τὸ δὲ ὂν, ἤδη γέγονε· διὸ καὶ ὁ Γαλλικὸς παθητικὸς ἐνεστὼς, παρῳχημένος ἐστίν· ὅθεν κἀν ταῖς Προτάσεσιν ἀεὶ διακριτέον τὰς ἐκ προσκειμένου, καὶ τὰς ἐκ τρίτου προσκατηγορουμένου. Οἶμαι δὲ τὰ ἐξ ἑνὸς κειμένου,

ἐκ δευτέρου προςκειμένου, καὶ ἐκ τρίτου προςκατηγορουμένου, χώραν δεδωκέναι τῷ τοὺς Ἕλληνας Γραμματικοὺς λέγειν ἐν ταῖς συντάξεσι τὰ ἐκ πρώτου, ἐκ τρίτου, καὶ ἐκ τετάρτου· τοῦ ῥήματος τὴν δευτέραν θέσιν ἔχοντος· καὶ τὰ ἐκ τετάρτου δὲ ἐντεῦθέν τινες συγκατηγορηματικὰ ἐκάλεσαν.

Περὶ δέ γε τοῦ ΕΣΤΙΝ οἱ νεώτεροι τῶν Περιπατητικῶν διηνέχθησαν, εἰ χρονικῆς ἐκφορᾶς εἴη δηλωτικὸς, ἢ μόνης γε συνδετικῆς· ὁ μὲν γὰρ Ἀμμώνιος ἐν τῷ περὶ Ἑρμηνείας φησὶ·

« Τὸ μὲν μέρος τῆς ἀποφάνσεως, ἢ ὄνομα πάντως, ἢ ῥῆμα
« εἶναι χρή. Οὐ μέντοι τὸ ῥῆμα πάντως ἐστὶ τῆς Προτάσεως
« μέρος, ὅταν μὴ αὐτόθεν τοῦ κατηγορουμένου κατηγορῆται, ὡς
« ἐνέργειαν, ἢ πάθος, ἢ ἁπλῶς ὕπαρξιν, ἢ ἀνυπαρξίαν τοῦ ὑπο-
« κειμένου σημᾶναι ὀφεῖλον, ἀλλ' ἕνεκα τοῦ συναρμόσαι τὸ ὑπο-
« κείμενον τῷ κατηγορουμένῳ παραλαμβάνεται·

Ὁ δὲ Βλεμμίδης, Ἐπιτόμ. Λογ. κεφ. κζ',

« μόνην, φησὶν, ἔχειν τὴν χρονικὴν σημασίαν, ὅταν
« προστιθέμενον τοῖς ὀνόμασιν, ὁμοῦ μετ' αὐτῶν ἐξετάζηται·
« ὡς τὸ, Σωκράτης σοφός ἐστιν.

Ἐκεῖνο μέντοι δεῖ γινώσκειν, ὅτι τὸ ῥῆμα ἐν ταῖς προτάσεσι, ταῖς ἐξ ἑνὸς κειμένου, καὶ ἐκ δευτέρου προςκειμένου, ἀεὶ χρόνον σημαίνει, καθὰ καὶ Ἀριστοτέλης ἀντιδιαστέλλων αὐτὸ πρὸς τὸ ὄνομα, τοῦτο μέν φησιν ἄνευ χρόνου σημαίνειν, τὸ δὲ ῥῆμα καὶ μετὰ χρόνου ἐνέργειαν, ἢ πάθος· ἅπερ ὁ Πλάτων κοινῷ ὀνόματι πράξεις ἐκάλεσε, λέγων ἐν Θεαιτήτῳ·

« Τὸ μὲν ἐπὶ ταῖς πράξεσιν ὂν δήλωμα, ῥῆμά που λέγομεν·

Οὐσιῶδες ἄρα γνώρισμα τοῦ ῥήματος, τὸ σημαίνειν τὰς πράξεις μετὰ χρόνου, οὐ σημαίνει δὲ ὑποστάσεις καὶ ὑπάρξεις, ὥσπερ τὸ ὄνομα, ἀλλ' ὅσα κατά τινος ὑποκειμένου πέφυκε λέγεσθαι. Διὸ καὶ τὰ Ἀμ-

μωνίου ἀνωτέρω ἐκδεκτέον περὶ τοῦ ΕΣΤΙ ῥήματος, λέγοντος συναρμοστὴν αὐτὸ μόνον τῶν ὅρων παραλαμβάνεσθαι, καθὸ καὶ τῆς ῥηματικῆς γυμνοῦται Ἰδιότητος, κἀντεῦθεν καὶ τῆς χρονικῆς σημασίας, καὶ τοῦ μὴ εἶναι μέρος τοῦ κατηγορουμένου.

Ὁ δὲ σοφὸς Εὐγένιος, ἀντεχόμενος τῆς Ἀμμωνίου γνώμης, Σύνδεσμον ἁπλῶς ἐθέλει τὸ ΕΣΤΙ, μήτε χρονικὴν, μήθ' ὑπαρκτικὴν ἔχον ἔννοιαν· μάλιστα ἐν ταῖς ἐκφαντορικαῖς Προτάσεσι, καὶ τοῖς τῶν Μαθημάτων ὁρισμοῖς· ὡς,

ὁ Θεός ἐστιν ἀγαθός·
ὁ κύκλος ἐστὶ περιφερής·

Καὶ νὴ Δία γε, τῆς ἀληθείας ἀϊδίου οὔσης, περιττὸν ζητεῖν τὸ πότε, καὶ μάλιστα περὶ τῶν Προσόντων τῇ Θεότητι, ἥ περ κατά γε τοὺς θεολογοῦντας ἀεὶ παρόντα ἔχει

« τά τ' ἐσσόμενα, πρό τ' ἐόντα·

Λέγω περιττὸν τὸ ζητεῖν τὸ πότε, οὐχ ὅτι τὸ ἐστὶ ἀπέβαλε τὸ χρόνον σημαίνειν, ἀλλ' ὅτι ἐν ταῖς καθόλου, γένη φημὶ, καὶ εἴδη, ἅτε ἀεὶ ὡσαύτως ἔχοντα, περὶ ἃ καταγίνονται οἱ φιλόσοφοι, οὐ ζητεῖται ὁ χρόνος· τάχα δὲ καὶ ἐπὶ τῶν ἀχωρίστων, εἴτε συμβεβηκότων εἴτε Ἰδίων· ὡς τὸ

Ἡ χιών ἐστι λευκή·
ὁ Σωκράτης ἐστὶ σιμός·

Περιττὴ ἡ ζήτησις τοῦ πότε· καί τοι ὅσα γε ὑπάρχει, ἐν χρόνῳ δήπου, καὶ ἐν τόπῳ ὑπάρχει· ἐπὶ μέν τοι τῶν ἄλλων ταλαντεύεται, καὶ αἰωρεῖται σαλευόμενος ὁ λόγος· λέγω δὲ ἐπὶ τῶν γίγνεσθαι καὶ ἀπογίγνεσθαι πεφυκότων· οἷον,

ὁ Σωκράτης ἐστὶν ἔκδημος,

ἔγγαμος, πένης, πλούσιος, καὶ τὰ τοιουτότροπα. Ὁ γὰρ τὸν Σωκράτην εἰδὼς ὄντα πένητα, καὶ πλούσιον μαθὼν, ἔροιτ' ἂν αὐτίκα, πότ' ἐγένετο πλούσιος· ἐπὶ τούτων ἀχώριστος τοῦ ΕΣΤΙ πέφυκεν ἡ χρονικὴ σημασία. Τούτου γε ἕνεκα ἐξεταστέον τὸ ἔμμονον, ἢ ἀπαράμονον τῶν ὅρων δηλούμενον, καὶ οὕτως ἀποφαντέον περὶ τοῦ ΕΣΤΙΝ, εἴπερ ἀεὶ, ἢ ποτὲ μὲν φυλάττει τὸ σημαίνειν χρόνον, ποτὲ δ' οὔ.

Θαυμάζω δ' ἔγωγε, εἰ δυνατὸν μὴ μέρος εἶναι τὸ ΕΣΤΙ τοῦ κατηγορουμένου, καί τοι Συνδεσμικῶς μόνον ἢ συναρμοστικῶς θεωρούμενον. Πῶς γὰρ μὴ συνδεδεμένων τῶν ὅρων δυναίμεθ' ἂν ἀπόφανσιν, ἢ κατάφασιν, ἢ ἀπόφασιν ἐκφέρειν; φάσιν γὰρ τότε σημανοῦσι, φαίη ἂν Ἀριστοτέλης, οἱ ὅροι· δεῖ γὰρ ἐν συμπλοκῇ γενέσθαι, καὶ τότε καταφήσει, ἢ ἀποφήσει· τὰ γὰρ, τρέχει, καθεύδει, πέταται, κατὰ Πλάτωνα, οὐ λέγονται σημαίνειν κατάφασιν, εἰ μὴ ἐν συνθέσει· οἷον,

ὁ Σωκράτης τρέχει·
ὁ Σωκράτης καθεύδει·

ἅπερ ταὐτὸν ἐμφαίνει τοῖς,

ὁ Σωκράτης ἐστὶ τρέχων·
ὁ Σωκράτης ἐστὶ καθεύδων·

Εἰ δὲ ἄνευ τοῦ Συνδέσμου οὔτε καταφάσκειν, οὔτ' ἀποφάσκειν τί τινος δυνατὸν, πῶς ἂν κληθείη κατηγορούμενος ὁ ὅρος; Εἰ δὲ προςκατηγορούμενον ἐκάλεσαν τὸ ΕΣΤΙ, πῶς συγκατηγορεῖσθαι λέγεται, μὴ ὂν μέρος τοῦ κατηγορουμένου, ὅπου γε ἀρθὲν, συναναιρεῖ καὶ τὸ κατηγορούμενον;

« οὕτως γε ἀταλαίπωρος ἡ ζήτησις τῆς ἀληθείας·

ϛ'. Τεσσάρων ὄντων τῶν προσδιορισμῶν Πᾶς, Οὐδεὶς, Τὶς, Οὐ-πᾶς· τετραπλοῦν εἶδος προτάσεων προσδιωρισμένων προκύπτει· καὶ

ἡ μὲν ἔχουσα τὸ Πᾶς, καθόλου Καταφατικὴ λέγεται, ᾗ καὶ τὸ Α γράμμα ἀπένειμαν· ἡ δὲ τὸ Οὐδεὶς, καθόλου Ἀποφατική· ἣν καὶ τῷ γράμματι Ε χαρακτηρίζουσιν· ἡ δὲ τὸ Τὶς, μερικὴ Καταφατικὴ, ἔχουσα χαρακτηρικὸν τὸ Ι· ἡ δὲ, τὸ Οὐπᾶς, μερικὴ Ἀποφατικὴ, σημαινομένη τῷ Ο.

Ἐπεὶ δὲ τὰ μόρια πᾶς, τὶς, οὐδεὶς, οὐπᾶς, δηλοῦσι ποσότητα, τῆς καταφάσεως καὶ ἀποφάσεως σημαινούσης ποιότητα· ἐντεῦθεν αἱ Προτάσεις λέγονται, αἱ μὲν, Καθόλου, αἱ δὲ Μερικαί· καὶ αἱ μὲν, Καταφατικαί· αἱ δὲ, Ἀποφατικαί. Προστεθέντων δὲ αὐταῖς καί τινων μορίων, καὶ μάλιστα τῶν ἀναγκαίως, ἐνδεχομένως· τὸ γὰρ δυνατὸν ὑπάγεται τῷ ἐνδεχομένῳ. Ὅτε καὶ μετὰ τρόπου λέγονται, καὶ καθ' ὃ καὶ εἰς ὕλην ὑπάγονται, πρὸς τῇ ποιότητι καὶ ποσότητι. Ἐκ δὲ τῆς ὕλης τριττὸν εἶδος Προτάσεων ἀνακύπτει πρὸς ταῖς εἰρημέναις· οἷον

ἡ ὕλη {
ἡ ἀναγκαία, καὶ ποιεῖ Πρότασιν ἀποδεικτικὴν
ἡ ἐνδεχομένη, καὶ παράγει Πρότασιν Διαλεκτικὴν,
ἡ φαινομένη, καὶ παρέχει Πρότασιν σοφιστικήν.

Πολλάκις ὅμως τίθεται τὸ, Ὁ, προσδιοριστικὸν, Ἰσοδύναμον τῷ, Πᾶς· καὶ ταὐτόν ἐστι λέγειν

Πᾶς ἄνθρωπός ἐστι ζῷον,

τῷ

Ὁ ἄνθρωπός ἐστι ζῷον·

Μηδενὸς δὲ μορίου προσκειμένου, μήτε πᾶς, μήτε τὶς, ἢ οὐδεὶς, ἢ οὐ πᾶς, ἢ ὁ, αἱ Προτάσεις οὐκέτι Προσδιωρισμέναι, ἀλλ' Ἀπροσδιόριστοι καλοῦνται· οἷον, ἡ

ἄνθρωπος περιπατεῖ·

ἰσοδυναμοῦσα τῇ,

τὶς ἄνθρωπος περιπατεῖ.

Ἢν δὲ, ἀντὶ γενικοῦ ἢ εἰδικοῦ ὅρου, ὡρισμένον τι ἢ κύριον ὄνομα ὑποκέηται, ἡ Πρότασις ἐκθετικὴ λέγεται, ἢ καθ' ἕκαστα· οἷον

Δίων περιπατεῖ.

Ἰστέον δ' ὅτι ὁ Γαληνὸς Στερητικὴν καθόλου καλεῖ τὴν καθόλου Ἀποφατικὴν, ὡς καὶ Βλεμμίδης (1) λέγων,

« πρῶτος μὲν ἐκ καθόλου κατηγορικῆς, ἤγουν καθόλου Καταφατι-
« κῆς τῆς Ἐλάττονος· καὶ καθόλου Στερητικῆς, ταὐτὸν δ'
« εἰπεῖν Ἀποφατικῆς·

Καὶ Ἀριστοτέλης δὲ ἐν τῷ Α τῶν Προτέρων Ἀναλυτικῶν, ἢ κατηγορικῶς φησιν, ἀντὶ τοῦ καταφατικῶς, ἢ Στερητικῶς ἀντὶ ἀποφατικῶς· οἱ δὲ Στωϊκοὶ Στερητικὸν ἀξίωμα, ἢ Πρότασιν ἔλεγον τὴν συνισταμένην ἐκ στερητικοῦ μορίου κατὰ Λαέρτιον (2) λέγοντα·

« Στερητικὸν δὲ, τὸ συνεστὸς ἐκ Στερητικοῦ μορίου καὶ ἀξιώμα-
« τος· οἷον

ἀφιλάνθρωπός ἐστιν οὗτος·

ἐξ οὗ καὶ οἱ τοῦ Περιπάτου νεώτεροι τὴν ἐκ Στερητικοῦ ὅρου συγκειμένην Πρότασιν, οἷον ἀκάκου, ἀδόξου, ἀδίκου, Καταφατικὴν κεκλήκασιν. Ὅθεν καὶ ὁ ἀνώνυμος τοῦ Ἀριστοτέλους ὑπομνηματιστὴς, οὗ πολλάκις ἐμνήσθην φησί.

« Τῆς Στερητικῆς καταφάσεως δοθείσης, ἕπεται καὶ ἡ ἐκ με-

(1) Ἐπιτομὴ Λογικ. κεφ. λδ'.
(2) Ἐν Βίῳ Ζήνωνος.

« ταθέσεως κατάφασις, καὶ ἡ ἁπλῆ ἀπόφασις· ἐπὶ πλέον γὰρ τῆς « Στερητικῆς καταφάσεως ἡ ἁπλῆ Ἀπόφασις. Ὅ, τι γάρ ἐστιν « ἄδικον, τοῦτο πάντως ἐστὶν οὐ δίκαιον, καὶ οὐκ ἔστι « δίκαιον. Ὅ, τι δέ ἐστιν οὐ δίκαιον, καὶ οὐκ ἔστι δί- « καιον, τοῦτο οὐκ ἐξ ἀνάγκης καὶ ἄδικον.

ΠΕΡΙ ΥΠΟΘΕΤΙΚΩΝ ΠΡΟΤΑΣΕΩΝ.

Ἐπεὶ ὁ ἀποφαντικὸς λόγος ὁ μέν ἐστι κατηγορικὸς, ὁ δὲ ὑποθετικὸς, εἰπὼν ἐν συντομίᾳ περὶ τῶν κατηγορικῶν Προτάσεων, μεταβαίνει εἰς τὰς ὑποθετικὰς, ὅπερ ἐστὶν ἄλλο γένος Προτάσεων. Ἐν γὰρ ταῖς κατηγορικαῖς ἁπλῶς θεωρεῖταί τι ὑπάρχον, ἢ μὴ ὑπάρχον, ἐν δὲ ταῖς ὑποθετικαῖς ἐκ τοῦ εἶναί τι ἢ μὴ εἶναι, ἕτερόν τι συνάγεται εἶναι ἢ μὴ εἶναι· ὅθεν καὶ σύνθετοί εἰσιν αὗται ἐκ τῶν κατηγορικῶν· οἷον,

Εἰ ἐστὶν ἄνθρωπος, ἐστὶ καὶ ζῷον.

Τὸ ἡγούμενον, εἰ ἐστὶν ἄνθρωπος, ἐστὶν ὑποθετικόν. Τὸ δὲ, ἐστὶ καὶ ζῷον, ὅπερ καὶ ἑπόμενον λέγεται, ἐστὶ κατηγορικόν· καὶ τὸ μὲν, Ἰσοδυναμεῖ τῷ ὑποκειμένῳ, τὸ δὲ ἑπόμενον τῷ κατηγορουμένῳ, ὡς κἂν τῇ Προθεωρίᾳ εἴρηται. Ἐκ δὲ τῶν Προτάσεων τούτων καὶ ὁ Συλλογισμὸς ὑποθετικὸς λέγεται, καθάπερ καὶ ἐκ τῶν κατηγορικῶν Προτάσεων οἱ κατηγορικοὶ Συλλογισμοὶ κέκληνται.

Ζ. Τὰ περὶ ἐννοίας, καὶ νοήσεως, καὶ μνήμης τοῦ Πλάτωνος δόγματα, διαφόρως παρὰ τῶν αὐτοῦ ὀπαδῶν φέρεται· Εἰ γὰρ τὰ αἰσθητὰ καθ' ὁμωνυμίαν τῶν ἀΰλων ὄντων λέγεται, καὶ πρὸς παράδειγμα τῶν ἀρχετύπων Ἰδεῶν γέγονε, τὰς δ' ἐν τῇ ψυχῇ Ἰδέας προϋφυστώσῃ τοῦ σώματος, ἐμφύτους εἶναι, πῶς ἔπειτα αἱ μνῆμαι ἐκ τῶν διὰ τῶν αἰσθητηρίων αἰσθητῶν γεννῶνται, καθά φησιν Ἀλ-

κίνους (1), καὶ ὁ Γαληνὸς ἐνταῦθα; Ἢ πῶς τὸ γινώσκειν, κατ' ἄλλους, ἀναγινώσκειν, καὶ τὸ μεμνῆσθαι, ἀναμεμνῆσθαι; Δηλοῖ δὲ τοῦτο, ὅτι πρὸ τοῦ μὲν εἶναι τὴν ψυχὴν ἐν σώματι, γνῶσιν ἔχειν τῶν ὄντων, εἰσελθοῦσαν δ' αὐτὸ, διὰ τῶν αἰσθητηρίων ἐμπιπτόντων αὐτῇ τούτων, ἀνάγνωσιν, ἢ ἀναγνώρισιν ἔχειν· Καὶ πῶς πάλιν, κατὰ Γαληνὸν, αἱ μνῆμαι, κινούμεναι μὲν παράγουσι τὴν νόησιν, ἀκινητοῦσαι δὲ, τὴν ἔννοιαν; ὁ δὲ Ἀλκίνους πάλιν, νόησίς ἐστι φησί·

« Νοὸς ἐνέργεια, θεωροῦντος τὰ πρῶτα νοητά· καὶ αὕτη διττή·
« ἡ μὲν, πρὸ τοῦ τὴν ψυχὴν γενέσθαι ἐν σώματι, ἥτις καὶ κυρίως
« νόησις· γενομένης δὲ ταύτης ἐν τῷ σώματι, τότε φυσικὴ
« ἔννοια λέγεται·

Ἄπορον δὲ καὶ πῶς τὸ ἐν ἠρεμίᾳ ὂν, δύναται εἶναι ἔννοια. Ἐν σώματι ἄρα τῆς ψυχῆς οὔσης, ὁ νοῦς ἔσται ἀνενέργητος, καὶ ἔννοια ἂν εἴη, κατὰ Γαληνὸν, τὸ ἐν τῷ νῷ ἁπλῶς ὄν. Φησὶ δὲ πάλιν ὁ Ἀλκίνους·

« Καλεῖται δὲ ὑπ' αὐτοῦ, τοῦ Πλάτωνος, ἡ φυσικὴ ἔννοια,
« καὶ ἐπιστήμη ἁπλῆ, καὶ πτέρωμα ψυχῆς, ἐσθ' ὅτε δὲ
« καὶ μνήμη.

Ὅπουγε ὁ Γαληνὸς, νόησίν φησι τὴν κίνησιν τῆς μνήμης· ἔννοιαν δὲ, τὴν ἠρεμίαν ταύτης· Κατωτέρω δὲ τὰ ἀξιώματα, ἃ ἔφαμεν ἀνωτέρω κοινὰς ἐννοίας, ἐμφύτους καλεῖ· καὶ ταὐτίζει τὴν ἔννοιαν τῇ νοήσει, ἐκδεχομένων ταύτην οὕτω τῶν Ἑλλήνων, καὶ μάλιστα εἰς δήλωσιν τῆς Διανοίας· Διάνοιαν γὰρ ὁ Πλάτων ἔλεγε τὸν τῆς ψυχῆς πρὸς ἑαυτὴν Διάλογον. Τὸ δὲ Διαλέγεσθαι ταὐτὸν τῷ Συλλογίζεσθαι· καθὰ καὶ Πλούταρχός φησι (2)

(1) Περὶ Πλάτων· δογμ. κεφ. δ'.
(2) Περὶ τοῦ, πότερα τῶν ζῴων φρονιμώτερα.

« τὰς γὰρ νοήσεις, ἐναποκειμένας μὲν, ἐννοίας καλοῦσι,
« κινουμένας δὲ, διανοήσεις

Καὶ οἱ Περιπατητικοὶ δὲ τὴν Διάνοιαν Συλλογισμὸν σχεδὸν καλοῦσι·

« Διάνοια δέ ἐστι, τὸ οἷον ὁδόν τινα διανύειν, μεταβαίνουσα ἀπὸ
« Προτάσεων ἐπὶ Συμπεράσματα (1).

Καί μοι δοκεῖ ὁ Γαληνὸς συνεπτυγμένως φησὶ τὰς ἐννοίας ἠρεμούσας μνήμας, οἷά εἰσι τὰ ἀξιώματα, τὸ βάσιμον ἔχοντα τῆς ἀληθείας καὶ στάσιμον. Φησὶ γὰρ καὶ Ἀριστοτέλης (2).

« Τὸ γὰρ ἠρεμῆσαι καὶ στῆναι τὴν Διάνοιαν, ἐπίστασθαι καὶ
« φρονεῖν λεγόμεθα·

Τὰς δέ γε ἐννοίας μεθισταμένας εἰς νόησιν, ποιεῖν τὰς Προτάσεις, καθά φησιν ἐνταῦθα περὶ τῆς Ὑποθετικῆς Προτάσεως ὁ Γαληνός.

H. Ἣν Διαιρετικὴν λέγει Πρότασιν, ταύτην οἱ μετέπειτα Διεζευκτικὴν ἰδίως ἐκάλεσαν. Περὶ δὲ τοῦ Συνημμένου, ὁ Λαέρτιος οὕτω φησίν (3).

« Τῶν δὲ οὐχ ἁπλῶν ἀξιωμάτων Συνημμένον μέν ἐστι ... τὸ
« συνεστηκὸς διὰ τοῦ ΕΙ συναπτικοῦ Συνδέσμου. Ἐπαγγέλλεται
« δὲ ὁ Σύνδεσμος οὗτος ἀκολουθεῖν τὸ δεύτερον τῷ πρώτῳ· οἷον,

Εἰ ἡμέρα ἐστι, φῶς ἐστι·

Καὶ ὁ Φιλόπονος δέ φησι τοὺς Στωϊκοὺς Συνημμένον λέγειν τὴν Ὑποθετικὴν Πρότασιν (4).

(1) Φιλόπονος ἐν τῷ Προοιμίῳ τοῦ περὶ ψυχῆς.
(2) Φυσικ. ἀκροάσ. βιβ. ζ΄. κεφ. γ΄.
(3) Ἐν βίῳ Ζήνωνος.
(4) Φιλόπ. εἰς τὸ Α΄ τῶν Προτέρων Ἀναλυτικῶν περὶ Ὑποθετ. Συλλογισ.

« Τὸ μὲν Ἑπόμενον οἱ Στωϊκοὶ Λῆγον καλοῦσι, τὸ δὲ Συ-
« νημμένον, Τροπικόν. Διότι τρεπόμεθα ἐκ τοῦ Ἡγουμέ-
« νου εἰς τὸ Ἑπόμενον.

Θ. Τὸ γὰρ φῶς ἀντίκειται τῷ σκότει, καὶ ἀδύνατον συνυπάρχειν. Ὅθεν καὶ τελεία ἡ μάχη. Ἐνταῦθα δὲ οὐκ ἀντίκειται τὸ μὴ εἶναι Ἰσθμοῖ Δίωνα, τῷ εἶναι αὐτὸν ἐν Ἀθήναις.

Ι. Δηλονότι Συμπέρασμα τοῦ μὴ εἶναι νύκτα. Κείσθω δὲ πρὸς Σαφήνειαν τὰ ἑξῆς παραδείγματα·

Εἰ μὴ νύξ ἐστιν, ἡμέρα ἐστίν·
Ἀλλὰ μὴν ἡμέρα ἐστίν·
Ἆρα οὐκ ἔστι νύξ.

Καὶ πάλιν·

Εἰ μὴ νύξ ἐστιν, ἡμέρα ἐστίν·
Ἀλλὰ μὴν ἡμέρα οὐκ ἔστιν·
Ἆρα νύξ ἐστι.

Ἐὰν δὲ πάλιν προσλάβωμεν τὸ Ἡγούμενον, κατ' ἀπόφασιν μὲν, περαινόμενον ἕξομεν τοῦ ἡμέραν εἶναι· προσληφθέντος δ' ἐν καταφάσει, περανεῖται τὸ Ἡμέραν μὴ εἶναι· Τῷ δ' Ἀθήνησιν εἶναι Δίωνα οὐκ ἀντίκειται κυρίως τὸ Ἰσθμοῖ αὐτὸν εἶναι, διὰ τὸ μὴ εἶναι ἀκολουθίαν· Δυνατὸν γὰρ αὐτὸν εἶναι ἐν Κορίνθῳ, καὶ ἀλλαχοῦ γῆς. Καὶ οὐ δυνατὸν δύο Συλλογισμοὺς συστῆναι ἐκ θατέρου τῶν ὅρων τοῦ Ἡγουμένου φημὶ, καὶ Ἑπομένου, ἀλλ' ἕνα καὶ μόνον. Καὶ ὃ δὲ κατωτέρω παρατίθησιν ὑπόδειγμα, Ἀθήνησί τε καὶ Ἰσθμοῖ εἶναι Δίωνα, ὅπερ κατωτέρω φησὶ, κατὰ Χρύ-

σιππον, τρίτον ἀναπόδεικτον· ἐλλειπῆ (1) ἐνδείκνυται μάχην, ᾗ ἅμα οὐ δυνατὸν αὐτὸν εἶναι καὶ Ἀθήνησι καὶ Ἰσθμοῖ, ἀλλὰ κατὰ διαίρεσιν χρόνου.

ΙΑ. Πρόσληψίς ἐστι τὸ ἐπανειλημμένον, ὃ τόπον ἐπέχει τῆς Ἐλάττονος· οἷον,

Εἴπερ ἡμέρα ἐστὶ, φῶς ἐστι· [Συνημμένον]
Ἀλλὰ μὴν φῶς ἐστι· [τοῦτο Πρόσληψις]

Καθ' ἣν προσλαμβάνεται ἑκάτερος τῶν ὅρων, εἴτε καταφατικῶς, εἴτε ἀποφατικῶς, εἰ τὸ ἡμέρα ἐστὶν, ἢ τὸ φῶς ἐστι. Φησὶ δὲ καὶ ὁ Βλεμμίδης (2).

« Πᾶς ὑποθετικὸς Συλλογισμὸς, Ἡγούμενον ἔχει τι καὶ Ἑπό-
« μενον. Πρόσληψίν τε καὶ Συμπέρασμα· ὁμοῦ δὲ Συνημ-
« μένον λέγεται τῷ συνῆφθαι ἀλλήλοις τὸ Ἡγούμενόν τε καὶ
« τὸ Ἑπόμενον· οἷον,

Εἰ ἄνθρωπός ἐστι, καὶ ζῷόν ἐστιν·

« τὸ δὲ,

Ἀλλὰ μὴν ἄνθρωπός ἐστι,

« Πρόσληψις καλεῖται, καί γε Μετάληψις. Δηλοῦσι δὲ
« καὶ ἀμφότερα τὰ ὀνόματα, τὸ δὶς λαμβάνεσθαι τὸ αὐτό·

Τῆς δὲ Προσλήψεως καὶ Γαληνὸς δίδωσι κατωτέρω Παραδεί-

(1) Οἱ μὲν διὰ τοῦ ει γράφουσι τὸ ἐλλειπῆ, παράγοντες παρὰ τὸ ἐλλείπω· οἱ δὲ διὰ τοῦ ι ἐκ τοῦ ἀορίστου δευτέρου· καὶ εἴασα τὴν λέξιν, ὡς διφορουμένην ἐν τῷ Ἀντιγράφῳ.

(2) Ἐπιτομ. Λογ. κεφ. λς'.

γματα. Τὸ δέ γε ἐνδεικτικὴ φωνὴ ἐπὶ τοῦ Ἀθήνησί τε καὶ ἰσθμοῖ Δίων, ἀντὶ τοῦ ἁπλῶς εἴληπται κατηγορικὴ, καὶ ἀνακολούθως συμπεπλεγμένη· Ἔστι δέ γε ἐναντία τῇ ἀνωτέρω προκειμένῃ, λέγω τῇ·

Ἐν Ἀθήνησίν ἐστι Δίων,
Οὐκ ἔστιν Ἰσθμοῖ Δίων.

ΙΒ. Εἰ Χρύσιππος ἐπιλήψιμος ἐπὶ τῇ μεταβολῇ τῶν ὀνομάτων, τί ἂν εἴποιμεν περὶ τῶν καθ' ἡμᾶς Ζωολόγων καὶ Βοτανικῶν, πληθυνόντων ἑκάστοτε τὰ γένη καὶ τὰ εἴδη τῶν φυτῶν τε καὶ ζῴων; Οὐδὲ γὰρ δυνατὸν τὸν διδαχθέντα τὴν νεωτέραν ὀνοματοποιΐαν, κατανοεῖν τὰ πρὸ πεντήκοντα ἐτῶν περὶ τῆς αὐτῆς ὕλης συγγεγραμμένα ἄνευ νεωτέρων λεξικῶν, ἅπερ οἱ νεώτεροι καθ' ἡμᾶς ἐλλόγιμοι καλῶς ποιοῦντες συγγράφουσιν· Ἔδει γε τούτους μιμηθῆναι καὶ τοὺς μουσικοὺς τοῦ κλήρου τῆς Ἀνατολικῆς ἐκκλησίας, καὶ ἑρμηνεῦσαι διὰ Λεξικοῦ τὰς φωνὰς τῆς, ἣν λέγουσι παλαιὰν μουσικήν.

Τὸν δέ γε Χρύσιππον οὐ μόνον ἐπὶ τῇ μεταβολῇ τῶν ὀνομάτων κακῶς ἀκούειν συμβέβηκεν, ἀλλὰ κἀπὶ τῷ πλήθει τῶν Συμπεπλεγμένων Ἀξιωμάτων, ἢ Προτάσεων πληθύνας εἰς 103,049· λέγω τὰ ἐν καταφάσει ἀξιώματα. Τὰ δέ γε ἐν ἀποφάσει εἰς 310,952. Φησὶ δὲ Πλούταρχος (1).

« Ὃν καὶ πάντες ἐλέγχουσιν οἱ Ἀριθμητικοὶ, ὧν καὶ Ἵππαρ-
« χός ἐστιν, ἀποδεικνύων τὸ διάπτωμα τοῦ Συλλογισμοῦ παμ-
« μέγεθες αὐτῷ γεγονός.

Θαυμάζω δὲ, ὅτι ὁ Γαληνὸς ἐν πολλοῖς ἐλέγχων τὸν Χρύσιππον, οὐδὲν περὶ τούτου φησὶ, δέον γέ τι λέγειν· κακῶς μέν τοι ἐποίησεν ὁ Πλούταρχος, μὴ προσθεὶς τέλειον τὸν ἔλεγχον ἑνός του τῶν ἐλεγξάντων, φέρε τοῦ Ἱππάρχου, ἵν' ἔχωμέν τι κρίνειν περὶ τοῦ Διαπτώματος,

(1) Πλούταρχος· περὶ Στωϊκ. ἐναντιωμ.

εἰδότες, πῶς ταῦτα ὁ Χρύσιππος συνελλογίσατο. Ὁ γὰρ Ἀμμώνιος (1) φησὶ περὶ τῶν ἐν τῷ περὶ Ἑρμηνείας ὑπ' Ἀριστοτέλους παραδεδομένων Προτάσεών τε καὶ Ἀντιφάσεων ταῦτα·

« Ἅμα ἄρα πᾶσαι αἱ ἐν τῷ περὶ Ἑρμηνείας παραδεδομέναι
« Ἀντιφάσεις ἔσονται χίλιαι πεντατόσιαι δέκα καὶ δύο· Προτά-
« σεις δὲ δηλονότι διπλάσιαι τούτων, ἤγουν τρισχίλιαι εἴκοσι
« καὶ τέσσαρες.

Καὶ γὰρ οὕτως εὑρίσκονται ἔχουσαι ὑπολογιζόμεναι.

ΑΡΙΘΜΟΣ ΑΠΑΣΩΝ ΤΩΝ ΠΡΟΤΑΣΕΩΝ.

ΕΙΔΗ ΠΡΟΤΑΣΕΩΝ ΕΚ ΔΕΥΤΕΡΟΥ ΠΡΟΣΚΕΙΜΕΝΟΥ.

Ἐκ τῶν τεσσάρων προσδιορισμῶν ἔξομεν	4	
διπλασιάσαντες ταύτας ἐκ τοῦ ὡρισμένου καὶ τοῦ ἀορίστου,	8	
ἃς τριπλασιάσαντες ἐκ τοῦ τριττοῦ τῆς ὕλης,	24	
ταυτασὶ δὲ τριπλασιάσαντες ἐκ τοῦ τριμεροῦς τοῦ χρόνου,	72	72

ΕΙΔΗ ΠΡΟΤΑΣΕΩΝ ΕΚ ΤΡΙΤΟΥ ΠΡΟΣΚΑΤΗΓΟΡΟΥΜΕΝΟΥ.

Ἐκ τῶν τεσσάρων προσδιορισμῶν πάλιν,	4	
ἐκ τοῦ ὡρισμένου καὶ ἀορίστου, τὸ διπλάσιον,	8	
ἐκ τοῦ τριττοῦ τῆς ὕλης, τὸ τριπλάσιον,	24	
ἐκ τοῦ τριμεροῦς τοῦ χρόνου, τὸ τριπλάσιον,	72	
ἐκ τοῦ ὡρισμοῦ καὶ τῆς ἀοριστίας τοῦ Κατηγορουμένου διπλασιάσαντες, ἕξομεν	144	144

(1) Ἀμμών. εἰς τὸ περὶ Ἑρμηνείας.

ΕΙΔΗ ΤΩΝ ΜΕΤΑ ΤΡΟΠΟΥ ΕΞ ΥΠΟΚΕΙΜΕΝΟΥ ΚΑΙ ΚΑΤΗΓΟΡΟΥΜΕΝΟΥ.

Ἐκ τῶν διαθέσεων τοῦ ἀρνητικοῦ μορίου, ἕξομεν	4	
τῶν δ' ἐκ τρίτου προσκειμένου, ὡσαύτως	8	
	12	
ταύτας τετραπλασιάσαντες ἐκ τῶν τεσσάρων	4	
Προσδιορισμῶν, ἕξομεν	48	
ὧν τριπλασιασθέντων ἐκ τοῦ τριμεροῦς τοῦ χρόνου	3	
εὑρήσομεν	144	
ἐπιτριπλασιασθέντων δὲ ἐκ τῶν ὑλῶν	3	
	432	
τριπλασιασθέντων δὲ πάλιν ἐκ τῶν τρόπων	3	
	1296	1296
ἔσονται οὖν αἱ Ἀντιφάσεις χίλιαι πεντακόσιαι δέκα καὶ δύο,		1512
ἑκάστης δ' ἀντιφάσεως, τὸ διπλάσιον		2
		3024

ἐξ ὧν δείκνυται τὸ ἀδιάπτωτον τοῦ τεθέντος κεφαλαίου ὑπὸ τοῦ Ἀμμωνίου.

Εἰ μὲν οὖν ἀκριβῶς ὁ Πλούταρχος παραθέσθαι ἐβούλετο τὸν τρόπον

τοῦ Χρυσιππείου ὑπολογισμοῦ τῶν Συμπεπλεγμένων Ἀξιωμάτων, ἴσως ἂν ἤδη ἐγνώκειμεν τὴν ὀρθότητα τοῦ Ἱππαρχείου ἐλέγχου· νῦν δὲ μόνον τὸ ποσὸν αὐτῶν προθεὶς, τὰ δι' ὧν πεπόσωται σεσίγηκε· Καὶ μέν τοι τὰς Ὑποθετικὰς καὶ Διαιρετικὰς Προτάσεις ἀκροθιγῶς ὁ Σταγειρίτης ἐτεχνολόγησε, τὰ δὲ τοῦ Ἀμμωνίου πρὸς τὰς κατηγορικὰς Προτάσεις φαίνεται εἰρημένα· Εἰ δὲ ὁ Χρύσιππος, καθά φησι Γαληνὸς, Συμπεπλεγμένα ἐκάλει οὐ μόνον τὰ, Δίων περιπατεῖ, καὶ Θέων διαλέγεται, ἀλλὰ καὶ τὰ ἀκόλουθα καὶ μαχόμενα, ἤτοι τὰς Ὑποθετικὰς καὶ Διαιρετικὰς Προτάσεις, ἀνάγκη πᾶσα μὴ τὸν ἀριθμὸν πεπληνθύσθαι, ὡς οἱ Ἐλέγξαντες τὸν Χρύσιππον ᾤοντο. Καὶ γὰρ τὸ συμπεπλεγμένον Ἀξίωμα, ἀνάγκη διπλάσιον εἶναι ὡς πρός γε τὸ ἁπλοῦν. Εἰ οὖν ὑπολογισαίμεθα ταῦτα, ὃν τρόπον πεποιήκαμεν ἐπὶ τῶν Κατηγορικῶν, εἴη ἂν ἀριθμὸς

τῶν μὲν ἐκ Δευτέρου Προσκειμένου	1,152
τῶν δὲ ἐκ Τρίτου Προσκατηγορουμένου	4,608
τῶν δέ γε μετὰ τρόπου	41,472
ὧν τὸ ἄθροισμα συγκεφαλαιοῦται εἰς	47,232.

μόνων τῶν ἁπλῶν Συμπεπλεγμένων Ἀξιωμάτων. Εἰ δέ γε Συμπεπλεγμένα καλοῦσιν οἱ περὶ Χρύσιππον καὶ τὰ μαχόμενα, καὶ ἀκόλουθα, ὡς ἐνταῦθά φησι Γαληνὸς, μεῖζον ἔσται.

Ἢν γὰρ λάβωμεν ὁμοιοτρόπως τὸν ἀριθμὸν τῶν μαχομένων, ἀφελόντες τὰς τοῦ ἀρνητικοῦ μορίου διαθέσεις,

εὑρήσομεν τούτων ἄθροισμα	32,544
τῶν τε ἀκολούθων ὁμοίως	32,544
καὶ τὸ κεφάλαιον ὁμοῦ	65,088.
Ἐὰν δὲ πάλιν ἀφέλωμεν τὰς τοῦ ἀρνητικοῦ μορίου Διαθέσεις τῶν ἁπλῶν Συμπεπλεγμένων, ὁ ἀριθμὸς 47,232 μεταστήσεται εἰς τὸ	32,544
	97,632

Εἰ μὲν οὖν Ἵππαρχος οὕτως ἐλογίσατο, ἔστιν, ὡς ἐκ τούτων

σαφὲς, τὸ τοῦ Χρυσίππου διάπτωμα οὐ μέγα· οὐ γάρ τι καὶ ἄλλο εἶδος Προτάσεων, παρέλαβε Χρύσιππος· οἷον τῶν παραδιεζευγμένων, ὅμως δὲ οὐ μέγ' ἂν εἴη τὸ αὐτοῦ παράπτωμα πάλιν ἐπί τε τῶν καταφατικῶν καὶ τῶν ἀποφατικῶν· τούτων γὰρ τὸ κεφάλαιον, κατά γε τὴν τριττὴν μετάθεσιν τῆς ἀρνήσεως ἔσται 292,896. Καὶ θαυμάζω ὅτι ὡς ἔφην, ὁ Γαληνὸς νεώτερος τοῦ Πλουτάρχου γεγονὼς μιᾷ περί που ἑκατονταετηρίδι, οὐκ ἐμνήσθη τοῦ διαπτώματος.

ΙΓ. Ἐνταῦθα παρόραμα ἑνὸς στίχου Ἀντιγραφικὸν· ὃ καὶ ἀνεπλήρωσα τοῖς ἐν τῇ παρενθέσει. Τὰ δέ γε Παραδιεζευγμένα, Ἀξιώματά εἰσι δηλούμενα τῷ Παραδιαζευκτικῷ Συνδέσμῳ· περὶ οὗ ὁ Σχολιαστὴς τῆς Διονυσίου τοῦ Θρᾳκὸς Γραμματικῆς ταῦτά φησι.

« Ὅτι ὁ Ἢ καὶ Διαζευκτικός ἐστι Σύνδεσμος, καὶ Πα-
« ραδιαζευκτικός ..... Παραδιαζευκτικὸς δὲ, ὡς
« ἐν τῷ·

Ἢ νέος· Ἠὲ παλαιὸς (1)·

« ἀντὶ γὰρ τοῦ καὶ ἐστὶν, οἷον ὁ νέος καὶ ὁ Παλαιός.

Τὸ γὰρ ἀναγκαῖόν ἐστι τὸ συνυπάρχειν, τοῦτο δηλοῖ· ὡς ἐν τῇ

Δίων καὶ Περιπατεῖ, καὶ Κινεῖται, καὶ Διαλέγεται.

ΙΔ. Προσλαβόντες μὲν γὰρ ἐν τῇ Ἐλάττονι, φέρε τὸ, Περιπατεῖ, ἅπαντα τὰ λοιπὰ ἐν τῷ Συμπεράσματι ἀποφάσκομεν· ἐὰν δὲ προσλάβωμεν τὰ λοιπὰ, τὸ Περιπατεῖ ἀποφήσομεν. Καὶ δῆλον ὅτι ὅσα ἄν τις προσλάβηται, τοσοῦτοι καὶ οἱ Συλλογισμοὶ ἔσονται· ὅτι δὲ κατὰ τὴν τελείαν μάχην δύο συνίστανται ἐξ ἑκατέρου τῶν ὅρων, ἀνωτέρω εἰρήκαμεν.

(1) Ὅρα τὰ ἀνέκδοτα τοῦ Βεκκέρου τόμ. β'. σελ. 963.

ΙΕ. Τεθείσης γὰρ Προτάσεως τῆς

Εἰ Περιπατεῖ, κινεῖται·

μὴ προσλαβόντες τὸ οὐ κινεῖται, τὸ ἀντικείμενον τοῦ λήγοντος, μή τε αὐτὸ τὸ λῆγον, οὐδὲ τὸ Περιπατεῖ ἕξομεν περαινόμενον. Τὸ δὲ τὰς Ὑποθετικὰς πλεονεκεῖν τῇ ἀποφάσει, πρόδηλον· ἡ γὰρ ἄρσις προσαπαιτεῖ τὴν θέσιν, καὶ ἐναλλάξ. Ἐπὶ μέν τοι τῶν κατηγορικῶν ἀνάγκη τὴν ἄρσιν τοῦ Πᾶς προκεῖσθαι· δηλονότι Καταφατικῆς οὔσης τῆς

Πᾶς ἄνθρωπος λευκός·

Ἀντικειμένη ἐστὶν ἡ


Οὐ πᾶς ἄνθρωπος λευκός·

Καθὰ καὶ Ἀριστοτέλης φησὶν ἐν τῷ περὶ Ἑρμηνείας· ὥστε ἡ ἀπόφασις τοῦ Πᾶς, ἢ πάντων, προκείσεται.

Ὁ δὲ κατωτέρω φησὶ τὰς τοιαύτας Προτάσεις λέγεσθαι Συνόρους διὰ τὸ κοινωνεῖν τοῖς ὅροις ἀτοκίας, δηλοῖ τὸ μὴ προϊέναι ἐξ αὐτῶν Συμπέρασμα, Ἀποφάνσεις κυρίως οὖσαι, καταφάσκουσαι ἢ ἀποφάσκουσαι

ΙϚʹ. ΠΕΡΙ ΑΝΤΙΣΤΡΟΦΗΣ ΚΑΙ ΙΣΟΔΥΝΑΜΙΑΣ ΤΩΝ ΠΡΟΤΑΣΕΩΝ.

Περὶ δέ γε τῆς Ἀντιθέσεως, καὶ Ἀντιστροφῆς Ἁπλῆς τε καὶ σὺν Ἀντιθέσει, καὶ κατὰ Συμβεβηκός τε καὶ κατὰ τὸ Ἐνδεχόμενον, καὶ τῆς Ἰσοδυναμίας τῶν Προτάσεων, ἅτε διεξοδικῆς δεομένων διδασκαλίας, καὶ τοῦ Ἀριστοτέλους ἅλις ταύτας διδάξαντος, ἐν ἄλλοις Πλατύτερον εἰρήσεται. Νῦν δὲ ἀρκεσθησόμεθα, προθέντες τὸ Διάγραμμα, ὑποσυνάψαι δύο κανόνας, μεμνημένων τῶν ἀναγινωσκόντων καὶ ὧν περ ἀνωτέρω εἰρήκαμεν περὶ τῶν Γραμμάτων Α, Ε, Ο, Ι τό, τε ποσὸν καὶ τὸ ποιὸν δηλούντων τῶν Προτάσεων·



ΚΑΝΩΝ ΠΕΡΙ ΑΝΤΙΣΤΡΟΦΗΣ.

Ἁπλῶς δὴ ΕΤΙ, καὶ συμβὰν ΦΑΓΕ, τρέψ' ἐθελήσας·
ΑΡΤΟΝ δ' ἀντιθέτως, ΙΟΝ ὅτ' ἐνδέχεται.

ΚΑΝΩΝ ΠΕΡΙ ΙΣΟΔΥΝΑΜΙΑΣ.

Τοῦ ΟΥ τεθέντος Ἀντιφασκούσαις πρόσω·
Ὄπισθ' Ἐναντίαις τε χ' Ὑπεναντίαις·
Ἐν ταῖς Ὑπαλλήλοις δὲ ὡς ἑκατέρως·
Ἰσοσθενεῖς ἔσονται αἱ Ἀντιθέσεις.

Περάνας δ' ἐνταῦθα τὸ περὶ Προτάσεων, εἰσβάλλει εἰς τὸ περὶ Συλλογισμῶν· ὧν Διλημμάτους λέγει τοὺς ἐξ Ἡγουμένου καὶ Ἑπομένου. Παράδειγμα δὲ τοῦ πρώτου τρόπου τῶν Ἀναποδείκτων τὸ Χρυσίππου τὸ ἑξῆς διὰ Λεκτῶν ὅρων, ἀντὶ τῶν α. β. γ. κ. τ. λ. γραμμάτων· οἷον

Εἰ περιπατεῖ, κινεῖται·

Ἀλλὰ μὴν περιπατεῖ·
Ἄρα κινεῖται.

Τὰ δὲ λοιπὰ τέτταρα παραθήσομαι, ὡς ἔχει παρὰ Λαερτίῳ (1) πρὸς πλείω σαφήνειαν.

« Πρῶτος δέ ἐστιν Ἀναπόδεικτος, ἐν ᾧ πᾶς λόγος συντάσσεται « ἐκ Συνημμένου καὶ Ἡγουμένου· ἀφ' οὗ ἄρχεταί τι Συνημμέ- « νον, καὶ τὸ Λῆγον ἐπιφέρει· οἷον,

Εἰ τὸ α, τὸ β·
Ἀλλὰ μὴν τὸ α
Τὸ ἄρα β.

« Δεύτερος δ' ἐστὶν Ἀναπόδεικτος, ὁ διὰ Συνημμένου, καὶ τοῦ « Ἀντικειμένου τοῦ Λήγοντος, τὸ Ἀντικείμενον τοῦ Ἡγουμένου « ἔχων Συμπέρασμα· οἷον,

Εἰ ἡμέρα ἐστὶ, φῶς ἐστιν·
Ἀλλὰ μὴν νύξ ἐστιν·
Οὐκ ἄρα ἡμέρα ἐστίν.

Μὴ ταραττέτω τοὺς ἀναγνώστας ἡ Πρόσληψις, μὴ οὖσα ἐν ἀποφάσει κατὰ τὸ τοῦ Γαληνοῦ Παράδειγμα, καθό φησιν οὐχὶ δὲ τὸ δεύτερον· τὰ γὰρ, φῶς οὐκ ἔστι, σκότος ἐστὶν, ἢ νύξ ἐστιν, ἀντικείμενά εἰσι τοῦ Λήγοντος·

« Τρίτος δ' ἐστὶν Ἀναπόδεικτος, ὁ δι' ἀποφατικοῦ συμπλοκῆς, « καὶ ἑνὸς τῶν ἐν τῇ Συμπλοκῇ, ἐπιφέρων τὸ Ἀντικείμενον τοῦ « λοιποῦ· οἷον,

(1) Λαέρτ. ἐν βίῳ Ζήνωνος.

Οὐχὶ τέθνηκε Πλάτων, καὶ ζῇ Πλάτων·
Ἀλλὰ μὴν τέθνηκε Πλάτων·
Οὐκ ἄρα ζῇ Πλάτων.

« Τέταρτος δὲ Ἀναπόδεικτος, ὁ διὰ Διεζευγμένου, καὶ ἑνὸς τῶν « ἐν τῷ Διεζευγμένῳ, τὸ Ἀντικείμενον τοῦ λοιποῦ ἔχων Συμπέ- « ρασμα

Ἤτοι τὸ Πρῶτον, ἢ τὸ Δεύτερον·
Ἀλλὰ μὴν τὸ Πρῶτον·
Οὐκ ἄρα τὸ Δεύτερον.

Διὰ δὲ Λεκτῶν, οὕτω περανθήσεται·

Ἤτοι χρυσὸν φέρεις, ἢ ἄργυρον·
Ἀλλὰ μὴν χρυσὸν φέρεις·
Οὐκ ἄρα ἄργυρον·

« Πέμπτος δέ ἐστιν Ἀναπόδεικτος, ἐν ᾧ πᾶς λόγος συντάσσε- « ται ἐκ Διεζευγμένου καὶ ἑνὸς τῶν ἐν τῷ Διεζευγμένῳ Ἀντικει- « μένου, καὶ ἐπιφέρει τὸ λοιπὸν· οἷον,

Ἤτοι ἡμέρα ἐστὶν, ἢ νύξ ἐστιν·
Οὐχὶ δὲ νύξ ἐστιν·
Ἡμέρα ἄρα ἐστίν.

Ὁ μὲν οὖν Ἀριστοτέλης μικρὰ φαίνεται πεφροντικὼς τῶν ὑποθετικῶν Συλλογισμῶν. Διὸ καὶ μέμνηται τούτων ἐν τῷ Δ΄ τῶν Προτέρων Ἀναλυτικῶν, ὡς συντελούντων μόνον πρὸς τοὺς εἰς Ἀδύνατον ἀπάγοντας Συλλογισμούς. Ἐν δὲ τῷ μ΄ κεφαλαίῳ (1) κατὰ τὰς ἐκδόσεις, ἐπιμελέστερον εἰπεῖν ἐπαγγειλάμενος, ἐν οἷς φησι·

(1) Ἀναλυτικῶν Προτέρων τὸ Α΄, κεφ. 40.

« Τίνες μὲν αἱ Διαφοραὶ τούτων, καὶ ποσαχῶς γίνονται οἱ ἐξ
« ὑποθέσεως, ὕστερον ἐροῦμεν »

οὐδὲν ἐν τοῖς ἑξῆς φαίνεται εἰρηκὼς, εἰ μή τι πλατύτερον ἐπραγματεύσατο ἐν τοῖς μὴ διασωθεῖσιν ἐς γ' ἐφ' ἡμᾶς βιβλίοις· Τὸν δὲ Θεόφραστον φησὶν ὁ Ἀφροδισσεὺς Ἀλέξανδρος σαφέστερον περὶ τούτων διαλαβεῖν, ἀλλ' οὐδὲ τὸ τοῦ Θεοφράστου περὶ τούτων βιβλίον εἰς ἡμᾶς διεσώθη. Ἱκανὰ τάχ' ἂν εἴη τὰ τῶν Στωϊκῶν, ὅσα παρὰ Διογένει τῷ Λαερτίῳ φέρεται (1).

Ὁ δὲ ὑπομνηματιστὴς τοῦ περὶ Κράσεων τοῦ Γαληνοῦ, ἔτι ἀνέκδοτος, τάδε περὶ τούτων τῶν Συλλογισμῶν φησίν·

« Οἱ Ὑποθετικοὶ Συλλογισμοί εἰσιν ἕξ.

« Εἷς μὲν καὶ πρῶτος, ὁ τῇ Θέσει τοῦ ἡγουμένου, τὸ ἑπόμε-
« νον συνεισφέρων· οἷον,

Εἰ ἄνθρωπός ἐστι, καὶ ζῷόν ἐστιν·
Ἀλλὰ μὴν ἄνθρωπος,
Καὶ ζῷον ἄρα.

« Δεύτερος δὲ, ὁ τῇ ἀναιρέσει τοῦ ἑπομένου, τὸ ἡγούμενον
« ἀναιρῶν· οἷον,

Εἰ ἄνθρωπός ἐστι, καὶ ζῷόν ἐστιν·
Ἀλλὰ μὴν οὐ ζῷον·
Οὐκ ἄνθρωπος ἄρα.

« Τρίτος δὲ, ὁ μετὰ ἀποφάσεως ποιῶν τὴν Διαίρεσιν·
« οἷον, ὅτι

Τὸ προσιὸν οὐχὶ ἄνθρωπος καὶ ἵππος ἐστίν·

(1) Διογ. Λαέρτ. ἐν βίῳ Ζήνωνος, καὶ Χρυσίππου.

« εἶτα τῇ ὑποθέσει τοῦ ἑνὸς, ἀναιρῶν τὸ λοιπόν·

Ἀλλὰ μὴν ἄνθρωπός ἐστιν·
Οὐκ ἄρα ἵππος ἦν·

« Τέταρτος δὲ, ὁ ἐκ Διαζευκτικῶν, τῇ ὑποθέσει τοῦ ἑνὸς, ἀναι-
« ρῶν τὸ λοιπὸν, ἢ τὰ λοιπά· οἷον,

Ἡ πλευρὰ τῇ πλευρᾷ, ἢ ἴση ἐστὶν, ἢ μείζων,
ἢ ἐλάττων·
Ἀλλὰ μὴν ἴση ἐστὶν,
Οὐκ ἔστιν ἄρα μείζων, οὐκ ἔστιν ἐλάττων·

« Πέμπτος ὁ τῇ ἀναιρέσει τοῦ ἑνὸς, ἢ τῶν λοιπῶν, κατασκευάζων
« τὸ ἕτερον· οἷον,

Ἡ πλευρὰ τῇ πλευρᾷ, ἢ ἴση ἐστὶν, ἢ μείζων,
ἢ ἐλάττων·
Ἀλλὰ μὴν οὔτε μείζων, οὔτε ἐλάττων,
Ἴση ἄρα ἐστίν·

« Ἕκτος ὁ ἐξ ὅλων ὑποθέσεων προερχόμενος· οἷον,

Εἰ ὁ Θεὸς ἀγαθὸς, εἰ ἀΐδιον τὸ πᾶν, ἀμείβουσιν
αἱ ψυχαὶ διαφόρους φύσεις σωμάτων·
Ἀλλὰ μὴν ὁ Θεὸς ἀγαθὸς, καὶ τὸ πᾶν ἀΐδιον·
Ἄρα κ. τ. λ.

« Οὕτως ἔχει καὶ ὁ τοῦ Ἱπποκράτους ἐνταῦθα·

Εἰ ἓν ὢν ὁ ἄνθρωπος ἀλγεῖ,
καὶ ὁ τρόπος τῆς ἰάσεως εἷς ἔσται·

« Τὴν ὕλην ψευδῆ λαβὼν, λέγω δὴ τὰς Προτάσεις, συνήγαγεν « ἀληθὲς Συμπέρασμα, βουλόμενος ἐκ περιουσίας δεῖξαι, ὅτι « ἓν οὐκ ἔστι τὸ Στοιχεῖον· Μεμαθήκαμεν γὰρ, ὅτι δύο τινῶν « ὄντων ἐν τῷ Συλλογισμῷ, ὕλης τε καὶ εἴδους, κρεῖττον « κατὰ τὴν ὕλην σφάλλεσθαι, ἢ κατὰ τὸ εἶδος. Τῆς μὲν γὰρ ὕλης « μὴ καλῶς ἐχούσης, ὅταν τὸ εἶδος καλῶς ἔχῃ, καθάπερ ἐνταῦθα, « συνάγει ἀληθὲς Συμπέρασμα. Τὸ δὲ εἶδος εἰ παραβλαβείη, « κἂν ἡ ὕλη ἀληθὴς, οὐ συνάγεται ἀληθές. »

Ταῦτα μὲν ὁ ὑπομνηματιστὴς, ὁ δὲ Γαληνὸς ταύτας διεῖλεν εἰς δύο, τὰς μὲν ὑποθετικὰς καλῶν, τὰς δὲ Διαιρετικὰς, ἅς περ καὶ Διαζευκτικὰς ἕτεροι καλοῦσι.

Τὸ δέ γε παρασυνεζευγμένον, εἰ μὴ τὰ τῆς γραφῆς ἡμάρτηται, εἴη ἂν τὸ ἑξῆς παράδειγμα· οἷον,

Δίων ἤτοι τέθνηκεν, ἢ ζῇ, ἢ νοσεῖ·
Ἀλλὰ μὴν τέθνηκεν·
Οὐκ ἄρα ζῇ, οὐδὲ νοσεῖ.

Ἢ προσλαβόντες τὰ λοιπὰ, λέξομεν·

Ἀλλὰ μὴν ζῇ καὶ νοσεῖ·
Οὐκ ἄρα τέθνηκεν.

ΙΖ. Οὐκ ὀρθῶς ἔοικεν ἀνωτέρω ὁ Φιλόπονος εἰπεῖν τὸ Συνημμένον, Τροπικὸν καλεῖν τοὺς ἐκ τῆς Στοᾶς, διότι τρεπόμεθα ἐκ τοῦ Ἡγουμένου εἰς τὸ Ἑπόμενον·

Ἐν δὲ τῷ Σωζομένῳ τοῦ Βοήθου, εἴπερ ἄρα οὗτος εἴη, περὶ οὗ λέγει ὁ Γαληνὸς, οὐκ ἐνέτυχον, εἰ μὴ τοῖς,

« Εἰσί τινες Προτάσεις δι' ἑαυτῶν γνώριμοι· ὅτι οὐδὲν ἀνώτε- « ρον, ἐξ οὗ ἀποδειχθήσονται· καὶ αὗται μέγισται καὶ κυριώταται

« καλοῦνται. Εἰσὶ δὲ καὶ ἕτεραι, ὧν τὴν πίστιν αἱ πρῶται « καὶ μέγισται ἀποπληροῦσι Προτάσεις (1).

ΙΗ. Ἤτοι διδασκέτωσαν καὶ ὀνομαζέτωσαν προτέρους, τοὺς ἑτέρους, δηλονότι τοὺς Ὑποθετικούς.

ΙΘ. Οὔτε ἀποφάσκει τι ἐξ ἀνάγκης.] Τὸ γὰρ Συμπέρασμα ἐξ ἀνάγκης συμβαίνει τῷ ταῦτα εἶναι, καθά φησιν Ἀριστοτέλης. Ἀλλὰ μὴ τεθέντων τινῶν, οὐδὲν πρόεισι. Μὴ τεθείσης γὰρ τῆς Ἐλάττονος, ἡ Μείζων οὐδὲν ἀλλ' ἢ ἀποφαντικὸς λόγος ἔσται· ἀλλὰ καὶ αὕτη τεθεῖσα, οὐ δύναται Μόνορος εἶναι, ὡς τὸ ἐν τοῖς Ὑποθετικοῖς πρόσλημμα, ἀλλ' ἀνάγκη, ἤτοι ὑποκεῖσθαι, ἢ κατηγορεῖσθαί τινος ἑτέρου ὅρου. Ἐντεῦθεν δὲ εἰς βάλλει εἰς τὸ Δ' Σχῆμα, περὶ οὗ ἅλις ἐν τοῖς προτεθεωρημένοις εἴρηται.

Κ. Προτεθεώρηται, ὅτι παρέλιπε τὸ Συμπέρασμα (2).

Τῷ μὲν οὖν προστιθέναι.] Οὐχ ὅτι Πρότασις ὑπῆρχεν, ἀλλὰ τῇ προσθήκῃ τοῦ μέσου, ἤτοι τοῦ καλοῦ, ὃς τῇ μὲν ὑποκείμενος ἔσται, τῆς δὲ κατηγορούμενος· ὃ δὴ κἀπὶ τοῦ Δ κἀπὶ τοῦ Α Σχήματος νοείσθω. Μέτεισι δ' ἐφεξῆς ἐπὶ τοῦ Β καὶ Γ Σχήματος.

ΚΑ. Ἔστωσαν δὲ παραδείγματα τοῦ μὲν πρώτου Σχήματος

α	Πᾶν ἐπαινετὸν καλόν·	Α.
	Πᾶν καλὸν αἱρετόν·	Α.
	Πᾶν καλὸν ἐπαινετόν·	Α.
β	Πᾶς ἄνθρωπος ζῷον·	Α.
	Οὐδεὶς λίθος ζῷον·	Ε.
	Οὐδεὶς λίθος ἄνθρωπος·	Ε.

(1) Βοηθ. τοπικ. τὸ β', κεφ. β'.

(2) Ὅρα σελ. νδ' ἀνωτέρω.

γ	Πᾶς ἄνθρωπος γελαστικόν·	Α.
	Τὶ ζῷον ἄνθρωπος·	Ι.
	Τὶ ζῷον γελαστικόν·	Ζ.
δ	Οὐδεὶς πολιτικὸς δίκαιος·	Ε.
	Τὶς Ἀθηναῖος πολιτικός·	Ι.
	Οὐ πᾶς Ἀθηναῖος δίκαιος·	Ο.

Οὗτοι μὲν οὖν οἱ τέτταρες τρόποι τοῦ Πρώτου Σχήματος, ὀρθῶς περαίνουσι· διὸ καὶ Συλλογιστικοὺς ἰδίως ἐκάλεσαν, τῷ ἐξ ἀληθῶν προκειμένων ἀληθὲς ἕπεσθαι Συμπέρασμα.

Τοῦ δὲ Δευτέρου Σχήματος ἔστωσαν Παραδείγματα τὰ ἑξῆς.

α	Οὐδὲν φυτὸν ζῷον·	Ε.
	Πᾶς ἄνθρωπος ζῷον·	Α.
	Οὐδεὶς ἄνθρωπος φυτόν.	Ε.
β	Πᾶς ἄνθρωπος ἔμψυχον·	Α.
	Οὐδεὶς λίθος ἔμψυχον·	Ε.
	Οὐδεὶς λίθος ἄνθρωπος·	Ε.
γ	Οὐδεὶς πολιτικὸς δίκαιος·	Ε.
	Τὶς ἄνθρωπος δίκαιος·	Ι.
	Οὐ πᾶς ἄνθρωπος πολιτικός·	Ο.
δ	Πᾶς ἄνθρωπος ζῷον·	Α.
	Οὐ πᾶν λευκὸν ζῷον·	Ο.
	Οὐ πᾶν λευκὸν ἄνθρωπος·	Ο.

Τοῦ δὲ Τρίτου Σχήματος, τὰ ἑξῆς παραδείγματα·

α	Πᾶς ἄνθρωπος ζῷον·	Α.
	Πᾶς ἄνθρωπος γελαστικόν·	Α.
	Τὶ ζῷον γελαστικόν·	Ι.
β	Οὐδεμία χιὼν ζῷον·	Ε.
	Πᾶσα χιὼν λευκή·	Α.
	Οὐ πᾶν λευκὸν ζῷον·	Ο.
γ	Πᾶς φιλόσοφος ἄνθρωπος·	Α.
	Τὶς φιλόσοφος μισογύνης·	Ι.
	Τὶς ἄνθρωπος μισογύνης·	Ι.
δ	Οὐδεὶς λίθος αἰσθητικόν·	Ε.
	Τὶς λίθος λευκός·	Ι.
	Οὐ πᾶν αἰσθητικὸν λευκόν·	Ο.
ε	Πᾶς ἄνθρωπος δίπουν·	Α.
	Τὶς ἄνθρωπος γραμματικός·	Ι.
	Τὶ δίπουν γραμματικόν·	Ι.
ς'	Πᾶς ἄνθρωπος αἰσθητικός·	Α.
	Οὐ πᾶς ἄνθρωπος φιλόσοφος·	Ο.
	Τὶ αἰσθητικὸν φιλόσοφος·	Ι.

ΚΒ. Ἀνάγκη ἐν τῇ εἰς Ἀδύνατον Ἀπαγωγῇ λαβεῖν τὸ ἀντικείμενον, ἢ τὴν ἀντιφάσκουσαν τῷ συμπεράσματι εἰς Μείζονα ἢ Ἐλάττονα, καὶ τὴν Ο ἀντιστρέφειν εἰς Α. Ἡ δὲ Α ἐν τῷ πρώτῳ Συλλογισμῷ

μένει ὡς εἶχε. Προενεκτέον δὲ, σαφηνείας χάριν, τὴν τοῦ Γαληνοῦ Ἀπαγωγὴν εἰς Ἀδύνατον οὕτω·

....Α Τὸ Α κατὰ παντὸς τοῦ Β·
..Ο Τὸ Α οὐ κατὰ παντὸς τοῦ Γ·
Ο Λέγω τὸ Β, οὐ κατὰ παντὸς τοῦ Γ· μὴ γάρ· ἔστω
Α Τὸ Β κατὰ παντὸς τοῦ Γ·
..Α Ἀλλὰ τὸ Α κατὰ παντὸς τοῦ Β·
..Α Ἄρα τὸ Α κατὰ παντὸς τοῦ Γ.

ὅπερ ἄτοπον· ὑπέκειτο γὰρ τὸ Α μὴ κατὰ παντὸς τοῦ Γ. Ὁ γὰρ ἀντιδιαλεγόμενος μόνον τὸ Συμπέρασμα ἀπέφη, οὐχὶ τὰς Προκειμένας. Οὐκ ἄρα τὸ Β κατὰ παντὸς τοῦ Γ.

Ἔστω καὶ ἐν λεκτοῖς·

....Α Τὸ αἰσθητικὸν κατὰ παντὸς ζῴου·
..Ο Τὸ αἰσθητικὸν, οὐ κατὰ παντὸς ἐμψύχου·
Ο Λέγω, ὅτι καὶ τὸ ζῷον οὐ κατὰ παντὸς ἐμψύχου. Μὴ γάρ· καὶ ἔστω
Α Τὸ αἰσθητικὸν κατὰ παντὸς ἐμψύχου·
..Α Ἀλλὰ τὸ αἰσθητικὸν καὶ κατὰ παντὸς ζῴου·
..Α Ἄρα τὸ αἰσθητικὸν καὶ κατὰ παντὸς ἐμψύχου·
ὅπερ ἄτοπον, κ. τ. λ.

Καὶ τὰ τῆς Ἐκθετικῆς δὲ Δείξεως σαφέστερον προενεκτέον κατὰ τὸν ἑξῆς τρόπον· οἷον,

Τὸ Α κατὰ παντὸς τοῦ Β·

..Α Τὸ Α οὐ κατὰ παντὸς τοῦ Γ·

Ο Τὸ Β οὐ κατὰ παντὸς τοῦ Γ·

Ἐπεὶ δὲ τὸ Α κατὰ παντὸς τοῦ Β, ἀντιλέγεται·

εἰλήφθω μὴ κατὰ παντὸς τοῦ Δ·

Τὸ Α ἄρα οὐ κατὰ παντὸς τοῦ Δ΄·

Α Ἀλλὰ τὸ Β κατὰ παντὸς τοῦ Γ·

Τὸ Β ἄρα οὐ κατὰ παντὸς τοῦ Δ·

..Α Ἀλλὰ τὸ Α κατὰ παντὸς τοῦ Γ·

ἔσται ἄρα καὶ τὸ Β οὐ κατὰ παντὸς τοῦ Γ.

Καὶ ἐν λεκτοῖς·

Τὸ αἰσθητικὸν κατὰ παντὸς ζῴου·

Τὸ αἰσθητικὸν οὐ κατὰ παντὸς ἐμψύχου·

Τὸ ἄρα ζῷον οὐ κατὰ παντὸς ἐμψύχου.

Ἐπεὶ δὲ τὸ αἰσθητικὸν κατὰ παντὸς, ἀντιλέγεται, εἰλήφθω τὸ κατὰ μηδενός·

Τὸ οὖν αἰσθητικὸν κατὰ μηδενὸς ζῴου·

Ἀλλὰ καὶ τὸ ζῷον κατὰ παντὸς ἐμψύχου·

Τὸ αἰσθητικὸν ἄρα οὐ κατὰ παντὸς ζῴου·

Ἀλλὰ τὸ αἰσθητικὸν κατὰ παντὸς ἐμψύχου·

Τὸ ζῷον ἄρα οὐ κατὰ παντὸς ἐμψύχου.

Ταῦθ᾽ οὕτως ἐξεθέμην διὰ τὸ πάνυ συνεπτυγμένον τοῦ Γαληνοῦ.

Ἔστωσαν δὲ παραδείγματα τῆς Ἐκθέσεως καὶ Ἀδυνάτου δείξεως καὶ τὰ ἑξῆς, ἐκ τοῦ ἀνωνύμου Ἀριστοτελικοῦ Ὑπομνηματιστοῦ, λέγοντος·

« Περὶ τῆς Καθόλου Ἀποφατικῆς ἐπὶ τῆς ἐνδεχομένης ὕλης,
« Θεόφραστος διηνέχθη πρὸς Ἀριστοτέλην καὶ Εὔδημος· οἷς καὶ
« τῶν νῦν σχεδὸν πάντες κατακολουθοῦσιν. Ἀντιστρέφειν γάρ
« φασι καὶ ἐπὶ τῆς ἐνδεχομένης ὕλης πρὸς ἑαυτὴν, ὥσπερ καὶ
« ἐπὶ τῆς ὑπαρχούσης καὶ Ἀναγκαίας· καὶ τοῦτο ἐμπεδῶσαι πει-
« ρῶνται δυσὶν ἐπιχειρήμασι· διά τε Δείξεως Ἐκθετικῆς, καὶ τῆς
« εἰς Ἀδύνατον Ἀγωγῆς. Ἡ μὲν οὖν Ἐκθετικὴ δεῖξίς ἐστι
« τοιαύτη·

« Εἰ ἐνδέχεται τὸ λευκὸν ἐν μηδενὶ εἶναι ἀν-
« θρώπῳ.

« Ἐνδέχεται τὸ λευκὸν ἀπεζεῦχθαι παντὸς ἀν-
« θρώπου·

« καὶ ὁ ἄνθρωπος ἀπεζευγμένος παντὸς ἔσται
« λευκοῦ·

« Ἡ δὲ εἰς Ἀδύνατον δεῖξίς ἐστιν αὕτη·

« Ἐπεὶ ψεῦδος τὸ ἐνδέχεσθαι μηδενὶ λευκῷ τὸν
« ἄνθρωπον εἶναι,

« Ὥσπερ μηδενὶ ἀνθρώπῳ ἐνδέχεται τὸ λευκὸν,
« ἀληθὲς·

« ἀληθὲς ἔσται, τὸ μὴ ἐνδέχεσθαι μηδενὶ λευκῷ
« τὸν ἄνθρωπον εἶναι·

« Κατάφασις γὰρ καὶ ἀπόφασις ταῦτα·

« Εἰ δὲ τοῦτο ἀληθὲς, καὶ ἐξ ἀνάγκης τινὶ λευκῷ
« ὑπάρχειν τὸν ἄνθρωπον, ἀληθές.

« Αἱ γὰρ τοῦ ἐνδεχομένου Προτάσεις πρὸ τοῦ τρόπου λαβοῦ-
« σαι τὴν ἄρνησιν, ἰσοδυναμοῦσι ταῖς ἀναγκαίαις·

« Ἐὰν δὲ ἀληθὲς ᾖ τὸ, ἐξ ἀνάγκης τινὶ λευκῷ
« ὑπάρχει ὁ ἄνθρωπος, καὶ τὸ λευκὸν ἐξ ἀνάγκης
« ὑπάρχει τινί· ὑπέκειτο δὲ καὶ ἐνδέχεσθαι μηδενὶ
« ἀνθρώπῳ τὸ λευκόν· τὸ αὐτὸ ἄρα καὶ ἐνδέχεται
« μηδενὶ, καὶ ἐξ ἀνάγκης τινὶ τὸ αὐτό· ὅπερ ἐστὶν
« Ἀντίφασις.

Καὶ ταῦτα μὲν ὁ Ὑπομνηματιστής. Περὶ δὲ τῆς Ἀδυνάτου Δείξεως καὶ Ἀριστοτέλης εἴρηκε τὰ δέοντα.

Γίγνονται δὲ Ἐκθετικοὶ Συλλογισμοὶ καὶ πρωτοσχήμονες· οἷον, καταφατικῶς μέν,

Ὁ γράψας τὴν Ἰλιάδα ποιητὴς ἦν·
Ὅμηρος δ' ἔγραψε ταύτην·
Ὅμηρος ἄρα ποιητὴς ἦν·

ἀποφατικῶς δέ,

Ὅμηρος ἐξέδοτο τὴν Ἰλιάδα·
Ὀρφεὺς δ' οὐκ ἦν Ὅμηρος·
Οὐκ ἄρα Ὀρφεὺς ταύτην ἐξέδοτο·

Ἀλλὰ καὶ Δευτεροσχήμονες, καὶ Τριτοσχήμονες, καὶ Τεταρτοσχήμονες, Καταφατικοί τε καὶ Ἀποφατικοί.

Ὁ δὲ Γαληνὸς τεχνολογήσας τὰ τρία Συλλογιστικὰ Σχήματα. Καὶ τοὺς ἐξ αὐτῶν Συλλογιστικοὺς τρόπους, ἢ κατά τινας Συλλογιστικὰς Συζυγίας, οὐδὲν περὶ τῶν ἐκ τοῦ Δ' Σχήματος ἔφη· ὅμως δὲ τεσσάρων οὐσῶν τῶν προτάσεων λέγω τῆς Α. Ε. Ο. Ι., τετραχῶς ἀλλήλων συμπλεκομένων ἔκ γε τοῦ ποσοῦ καὶ τοῦ ποιοῦ, ἐφ' ἑκάστου Σχήματος ἀναφύονται Συλλογιστικαὶ Συζυγίαι ΙϚ'. Αἵ γε δὴ πολλαπλασιασθεῖσαι ἐπὶ τοῦ τετραπλοῦ τοῦ Συμπεράσματος, διδόασι Συζυγίας ΞΔ' ἤτοι 64. Τούτων μέντοι ἀποκλείονται ὡς ἀδόκιμοι αἱ 54. Λείπονται ἄρα δέκα μόναι ὀρθῶς συνάγουσαι. Περὶ ὧν ἐν ἄλλοις ἐροῦμεν πλατύτερον, καθὰ δὴ καὶ περὶ Ἀντιθέσεων, καὶ Ἀντιστροφῶν, καὶ Ἰσοδυναμιῶν τῶν Προτάσεων, ὡς καὶ ἀνωτέρω εἰρήκαμεν. Ἑπομένοις δὲ τοῖς Κανόσιν, οὓς ἀνωτέρω ἐξεθέμεθα, ῥᾴδιον τοῖς βουλομένοις ἀναλύειν τοὺς πρόσθεν εἰρημένους Συλλογισμοὺς εἰς τοὺς τοῦ Α' Σχήματος, καθά φησιν ὁ Γαληνός.

ΚΑ. Τὸν Ἐρατοσθένην πρῶτόν φασιν ἐπιστῆσαι τῇ γηΐνῃ καταμετρήσει. Ἀλλ' οὖν γε ἀπένειμε τῷ αὐτῆς μείζονι κύκλῳ τῶν κε' μυριάδων Σταδίων, ἢ 250,000, μέγεθος πλεῖον τοῦ προκύψαντος ἐκ τῶν ἕνεκά γε τούτου παρατηρήσεων τῶν σοφῶν τῆς Γαλλίας· καθ' ἃς εὕρηται ὁ κύκλος οὗτος 9000 λευγῶν, τῆς λεύγης ἐχούσης 2282 μεγαλόργυια, ἢ 13,692 πόδας βασιλικούς. Ὥς τε τὰς 9000 Λεύγας ἀποτελεῖν 114,228,000 πόδας· τοῦ δὲ Σταδίου ἀναλογοῦντος πρὸς 611 πόδας, αἱ 250,000 μυριάδες Σταδίων παρέξουσι πόδας 152,750,000· ὥς τε τὸ διάπτωμα τοῦ Ἐρατοσθένους ὑπῆρξε 38,522,000 ποδῶν.

Ἅπαντα δὲ τὰ περὶ τῆς Γηΐνης περιμέτρου τοῦ Ἐρατοσθένους, καὶ τὰς ἐντεῦθεν ἐξαγομένας Προτάσεις πρὸς εὕρεσιν Τροπικῶν τε καὶ ἄλλων παραλλήλων, Μεγεθῶν τε πλανητῶν, καὶ Ἀποστημάτων, καὶ τῶν λοιπῶν, ἐν παρόδῳ ἐπεισάγει ἐνταῦθα παραδειγμάτων χάριν. Ἔοικε δὲ περὶ τούτων διελθεῖν κατὰ Διέξοδον ἐν τῷ αὐτοῦ ἐς δεῦρο μήπω εὑρημένῳ, περὶ Ἀποδείξεως ὑπομνήματι, περὶ οὗ μικρὸν πρόσθεν εἴρηκε· φησὶ δὲ κἀνταῦθα, χρώμεθα δ' αὐτοῖς ἐν ταῖς ἀποδείξεσιν, ἐν αἷς ὑπὲρ ἑνὸς τῶν ὄντων ἐστὶ ζήτησις. Ἐκεῖ οὖν τὰ τῆς δείξεως τοῦ Ἐρατοσθένους διαιτήσας, καὶ γνώριμα τοῖς πᾶσιν ὑποθέμενος, παρεισάγει τινὰ ἐνταῦθα.

Πολλὰ μέν τοι τοιάδε Προβλήματα καὶ Προτάσεις, τοῖς Ἀστρονόμοις καὶ Γεωμέτραις ἐπιλύεται, καὶ ἐπιλέλυται· οἷον,

Εὑρεῖν τὴν ἐλάσσονος κύκλου Περίμετρον
ἐν τῷ τοῦ μεγίστου μέτρῳ.

Δοθείσης γὰρ τῆς μεγίστης ἀπὸ τοῦ Ἰσημερινοῦ ἀποστάσεως ἑκατέρων τῶν Τροπικῶν εἶναι μοιρῶν 23, 30', καὶ τούτων ἀφαιρεθέντων τῶν 90° ἢ τεταρτημορίου τῶν 360° · τοῦ δὲ ἡμιτόνου τοῦ παραπληρώματος 66, 30' πολλαπλασιασθέντος ἐπὶ τὰς 360 μοίρας, τὸ ἐξ αὐτῶν γινόμενον πολλαπλασιασθὲν ἐπὶ τοῦ ὁλοσχεροῦς ἡμιτόνου 10,000,000, δώσει ἀριθμὸν ἀντιστοιχοῦντα 330°, 9', δηλοῦντα τὴν περίμετρον ἑκατέρων τῶν τροπικῶν· ὅθεν

Τοῦ μεγίστου κύκλου ὄντος 360 μοιρῶν (παρεωραμένων τῶν $9'$ λεπτῶν) ἑκάτερος τῶν τροπικῶν ἐστι 330 μοιρῶν·

Ἀλλὰ μὴν 360 μοῖραι ἀποτελοῦσι στάδια 250,000·

αἱ 330^{0} ἀποδώσουσι $\frac{250,000}{360} = 22916 + \frac{2}{3}$ σταδίου·

Ὁ μέν τοι γε Ἐρατοσθένης ἐφόδῳ ἐπαγωγικῇ φαίνεται μᾶλλον χρησάμενος, λαβὼν τόξον 5,000 Σταδίων τὸ ἀπὸ Συήνης μέχρι Μερόης, ὅπερ ἀντιστοίχει τῷ ἐν τῇ Σκάφῃ πεμπτημορίῳ τοῦ κύκλου. ὅρα καὶ τὸν Στράβωνα (1).

« Ὄντος δὴ τοῦ κατ' Ἐρατοσθένην Ἰσημερινοῦ κύκλου Στα-
« δίων μυριάδων πέντε καὶ εἴκοσι καὶ δισχιλίων, τὸ τεταρτη-
« μόριον ἂν εἴη ἓξ μυριάδας καὶ τρισχίλιοι... Κατὰ μέσον δὲ τὸ
« διάστημα τὴν Συήνην ἱδρύσθαι συμβαίνει· ὥςτ' ἐντεῦθεν ἐπὶ
« Μερόην πεντακισχίλιοι.

Ἐπαινεῖ δὲ τὸν Ἐρατοσθένη καὶ Πλίνιος ἐπὶ τῷ εὑρήματι λέγων. Universum hunc circuitum Eratosthenes, in omnium quidem litterarum subtilitate, et hac utique præter cæteros solers, quem cunctis probari video, ducentorum quinquaginta duorum millium stadium prodidit, quæ mensura Romanæ computatione efficit trecenties quindecis centena millia passum (2).

Περιττὸν δ' ἡγησάμην ἐνταῦθα καὶ διὰ Συλλογισμῶν παραθέσθαι ἕκαστα περί τε Οἰκήσεων, καὶ Ἀποστημάτων Πλανητῶν τε, καὶ Ἡλίου, καὶ Ἐκλείψεων, καθά φησιν ὁ Γαληνὸς, τοῦ καιροῦ πρὸς δευτέραν ἀποδημίαν κατεπείγοντος. Τῶν τε Μαθηματικῶν γνώσεων ἐπὶ μέγα καθ' ἡμᾶς προκεχωρηκυιῶν.

(1) Βιβλ. β'.
(2) Plin. Hist. L. 2, c. 8.

ΚΒ. Μικροῦ με διέλαθε τὸ παράδειγμα τοῦτο τὸ Συλλογιστικὸν τοῦ ἑαυτοῦ Δ′ Σχήματος, ὃ καὶ Πρῶτον καλεῖ, ὡς καὶ ἀνωτέρω ἔφημεν.

ΚΓ. Οὗτος παρεμφερὴς τῷ ἐγκεκαλυμμένῳ Συλλογισμῷ, ὃς κεῖται παρὰ Λαερτίῳ (1)· οἷον,

« Οὐχὶ τὰ μὲν δύο ὀλίγα ἐστὶν, οὐχὶ δὲ καὶ τὰ τρία;
« Οὐχὶ δὲ καὶ ταῦτα μὲν, οὐχὶ δὲ καὶ τὰ τέσσαρα;
« Οὐχὶ . . . . (καὶ οὕτω μέχρι τῶν δέκα·)
« Τὰ δὲ δύο ὀλίγα ἐστὶ, καὶ τὰ δέκα ἄρα.

ΚΔ. Ἀοριστοτέραν λέγει, ἅτε μὴ ὡρισμένην, ἀλλὰ ἐν μέρει ἀποφατικῶς λαμβανομένην· καταχρηστικώτερον μέν τοι· ἄλλαι γὰρ αἱ Ἀορισταίνουσαι Προτάσεις, καθ' ἃς ἀρθέντος τῇ ἀρνήσει τοῦ Κατηγορουμένου· πᾶν ἕτερον, πλὴν αὐτοῦ κατηγορηθείη ἄν.

ΚΕ. Τὸ Διπλάσια εἴρηται ἐνταῦθα κατὰ διπλασίονα λόγον (2). Ἕξει γὰρ ὁ Φίλων τὸ τετράγωνον τῆς κτήσεως τοῦ Δίωνος· ἐχέτω γὰρ οὗτος μὲν 4. Θέων δὲ 8. Ὁ ἄρα Φίλων ἕξει 16. Ὅπερ ἦν 4 × 4.

ΚϚ. Τοῦτο δὲ ταὐτὸν τῷ, Ἄμμας ἀπήτουν οἱ δ' ἀπηρνοῦντο σκάφας.

ΚΖ. Ἐξ ὧν κατωτέρω φησὶ Γαληνὸς, οἶμαι τὸν μαντικὸν τοῦτον Συλλογισμὸν προενεκτέον ὡδί·

Ἔστι μαντική· εἴπερ πάντῃ ἀληθεύει
Δίων, εὔδηλον, ὅτι καὶ αὐτὸ τοῦτο,

(1) Ἐν βίῳ Ζήνωνος.

(2) Ὅρα Εὐκλείδου Στοιχεῖον πέμπτον ἐν τοῖς ὁρισμοῖς περὶ τοῦ πολλαπλάσιον.

εἴγε ὑπόκειται ἐς πάντα ἀληθεύειν Δίωνα,
τὸ μαντικὴν εἶναι· εἰ δὲ ἀληθές ἐστι
τὸ εἶναι μαντικὴν, ἔστι μαντική.

ΚΖ. Περὶ τῶν Περαντικῶν ὅρα Διογ. Λαέρτιον (1).

(1) Ἐν βίῳ Ζήνωνος.

ΤΕΛΟΣ.

ΠΙΝΑΞ ΠΡΑΓΜΑΤΙΚΟΣ

ΤΗΣ ΠΡΟΘΕΩΡΙΑΣ.

ΠΙΝΑΞ ΤΗΣ ΔΙΑΛΕΚΤΙΚΗΣ ΕΙΣΑΓΩΓΗΣ.

ΠΙΝΑΞ ΤΩΝ ΠΑΡΕΚΒΟΛΩΝ.

ΤΕΛΟΣ ΤΟΥ ΠΙΝΑΚΟΣ.